Ἡ δυώνυμος καὶ αἱ μετ' αὐτὴν ἄλογοι οὔτε πρὸς τὴν μέσην οὔτε μεταξύ των εἶναι αἱ αὐταί. Διότι τὸ μὲν τετράγωνον τῆς μέσης παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος εὐθεῖαν, ἡ ὁποία εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν εὐθεῖαν παρὰ τὴν ὁποίαν παράκειται, (θ. 22). Τὸ δὲ τετράγωνον τῆς δυωνύμου παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν πρώτην δυώνυμον, (θ. 60). Τὸ δὲ τετράγωνον τῆς ἐκ δύο μέσων πρώτης παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν δευτέραν δυώνυμον, (θ. 61). Τὸ δὲ τετράγωνον τῆς ἐκ δύο μέσων δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον σχηματίζει πλάτος τὴν τρίτην δυώνυμον, (θ. 62). Τὸ δὲ τετράγωνον τῆς μείζονος παρὰ ῥητὴν παραβαλλόμενον σχηματίζει πλάτος τὴν τετάρτην δυώνυμον, (θ. 63). Τὸ δὲ τετράγωνον τῆς δυναμένης ῥητὸν καὶ μέσον παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν πέμπτην δυώνυμον, (θ. 64). Τὸ δὲ τετράγωνον τῆς δύο μέσα δυναμένης παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν ἕκτην δυώνυμον, (θ. 65). Τὰ δὲ εἰρημένα πλάτη διαφέρουσι καὶ τοῦ πρώτου καὶ μεταξύ των, τοῦ μὲν πρώτου πλάτους ὅτι τοῦτο εἶναι εὐθεῖα ῥητή, μεταξύ των δὲ ὅτι κατὰ τὴν τάξιν δὲν εἶναι αἱ αὐταὶ εὐθεῖαι· ὥστε καὶ αὐταὶ αἱ ἄλογοι διαφέρουσι μεταξύ των.

73.

Ἐὰν ἀπὸ ῥητῆς ἀφαιρεθῇ ῥητή, ἡ ὁποία εἶναι σύμμετρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ ἀποτομή.

Ἀπὸ γὰρ ῥητῆς τῆς ΑΒ ῥητὴ ἀφῃρήσθω ἡ ΒΓ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐπεὶ γὰρ ἀσύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει, καί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΒ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα, τῷ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ. καὶ ἐπειδήπερ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΑ, καὶ λοιπῷ ἄρα τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ. ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ· ἄλογος ἄρα ἐστὶν ἡ ΑΓ· καλείσθω δὲ ἀποτομή. ὅπερ ἔδει δεῖξαι.



οδ'.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχουσα, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

Ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέση ἀφῃρήσθω ἡ ΒΓ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ΑΒ, μετὰ δὲ τῆς ΑΒ ῥητὸν ποιοῦσα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν· καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

Ἐπεὶ γὰρ αἱ ΑΒ, ΒΓ μέσαι εἰσίν, μέσα ἐστὶ καὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ. ῥητὸν δὲ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἀσύμμετρα ἄρα τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ λοιπῷ ἄρα τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ, ἐπεὶ κἂν τὸ ὅλον ἑνὶ αὐτῶν ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη ἀσύμμετρα ἔσται. ῥητὸν δὲ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἄλογον ἄρα τὸ ἀπὸ τῆς ΑΓ· ἄλογος ἄρα ἐστὶν ἡ ΑΓ· καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

οε'.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.

Ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέση ἀφῃρήσθω ἡ ΓΒ δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος, ἡ ὑπόλοιπος εἶναι ἄλογος· ἂς καλῆται δὲ ἀποτομή.

Διότι ἀπὸ τῆς ῥητῆς ΑΒ ἂς ἀφαιρεθῇ ἡ ΒΓ, ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ὅλην (τὴν ΑΒ) δυνάμει μόνον σύμμετρος· λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ ΑΓ εἶναι ἄλογος ἡ καλουμένη ἀποτομή.

Διότι, ἐπειδὴ ἡ ΑΒ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΒΓ καὶ εἶναι ΑΒ : ΒΓ $=$ ΑΒ^2 : ΑΒ$\times$ ΒΓ, (θ. 21, λῆμμα), ἄρα τὸ ΑΒ^2 εἶναι ἀσύμμετρον πρὸς τὸ ΑΒ$\times$ ΒΓ, (θ. 11). Ἀλλὰ πρὸς μὲν τὸ ΑΒ^2 εἶναι σύμμετρον τὸ ἄθροισμα ΑΒ^2 $+$ΒΓ^2, (θ. 15), πρὸς δὲ τὸ ΑΒ$\times$ ΒΓ εἶναι σύμμετρον τὸ 2ΑΒ$\times$ ΒΓ, (θ. 6). Καὶ ἐπειδὴ τὸ ἄθροισμα ΑΒ^2 $+$ΒΓ^2 $=$ 2ΑΒ$\times$ΒΓ $+$ ΓΑ^2, (II, 7) ἄρα τὸ ΑΒ^2 $+$ΒΓ^2 εἶναι ἀσύμμετρον πρὸς τὸ ὑπόλοιπον τὸ ΑΓ^2, (θ. 13 καὶ 16). Εἶναι δὲ ῥητὸν τὸ ΑΒ^2 $+$ΒΓ^2· ἡ ΑΓ ἄρα εἶναι ἄλογος, (ὁρισ. 4)· ἂς καλῆται δὲ ἀποτομή· ὅπερ ἔδει δεῖξαι.

74.

Ἐὰν ἀπὸ μέσης ἀφαιρεθῇ μέση, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος, μετὰ τῆς ὅλης δὲ περιέχῃ ὀρθογώνιον ῥητόν, ἡ ὑπόλοιπος εἶναι ἄλογος· ἂς καλῆται δὲ πρώτη ἀποτομὴ μέσης.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τῆς μέσης ΑΒ ἡ ΒΓ ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ΑΒ δυνάμει μόνον σύμμετρος, νὰ σχηματίζῃ δὲ ῥητὸν τὸ ὀρθογώνιον ΑΒ$\times$ΒΓ, (θ. 27)· λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ ΑΓ εἶναι ἄλογος· ἂς καλῆται δὲ πρώτη ἀποτομὴ μέσης.

Διότι, ἐπειδὴ αἱ ΑΒ, ΒΓ εἶναι μέσαι, εἶναι μέσα καὶ τὰ ΑΒ^2, ΒΓ^2. Εἶναι δὲ ῥητὸν τὸ 2ΑΒ$\times$ ΒΓ· ἄρα τὸ ἄθροισμα ΑΒ^2 $+$ΒΓ^2 εἶναι ἀσύμμετρον πρὸς τὸ 2ΑΒ$\times$ ΒΓ· ἄρα τὸ 2ΑΒ$\times$ ΒΓ εἶναι ἀσύμμετρον πρὸς τὸ ὑπόλοιπον τὸ ΑΓ^2, (II. 7), διότι καὶ ἂν τὸ ὅλον εἶναι πρὸς ἓν ἐξ αὐτῶν ἀσύμμετρον καὶ τὰ ἐξ ἀρχῆς μεγέθη εἶναι ἀσύμμετρα, (θ. 16). Εἶναι δὲ ῥητὸν τὸ 2ΑΒ$\times$ΒΓ· ἄρα τὸ ΑΓ^2 εἶναι ἄλογον· ἄρα ἡ ΑΓ εἶναι ἄλογος· ἂς καλῆται δὲ πρώτη ἀποτομὴ μέσης.

75.

Ἐὰν ἀπὸ μέσης ἀφαιρεθῇ μέση, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος, περιέχῃ δὲ μετὰ τῆς ὅλης ὀρθογώνιον μέσον, ἡ ὑπόλοιπος εἶναι ἄλογος· ἂς καλῆται δὲ δευτέρα ἀποτομὴ μέσης.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τῆς μέσης τῆς ΑΒ ἡ ΓΒ, ἡ ὁποία νὰ εἶναι πρὸς οὖσα τῇ ὅλῃ τῇ ΑΒ, μετὰ δὲ τῆς ὅλης τῆς ΑΒ μέσον περιέχουσα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν· καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ ΔΙ, καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΒ, ΒΓ ἴσον παρὰ τὴν ΔΙ παραβεβλήσθω τὸ ΔΕ πλάτος ποιοῦν τὴν ΔΗ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον παρὰ τὴν ΔΙ παραβεβλήσθω τὸ ΔΘ πλάτος ποιοῦν τὴν ΔΖ· λοιπὸν ἄρα τὸ ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ. καὶ ἐπεὶ μέσα καὶ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ, μέσον ἄρα καὶ τὸ ΔΕ. καὶ παρὰ ῥητὴν τὴν ΔΙ παράκειται πλάτος ποιοῦν τὴν ΔΗ· ῥητὴ ἄρα ἐστὶν ἡ ΔΗ καὶ ἀσύμμετρος τῇ ΔΙ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ μέσον ἐστίν. καί ἐστιν ἴσον τῷ ΔΘ· καὶ τὸ ΔΘ ἄρα μέσον ἐστίν. καὶ παρὰ ῥητὴν τὴν ΔΙ παραβέβληται πλάτος ποιοῦν τὴν ΔΖ· ῥητὴ ἄρα ἐστὶν ἡ ΔΖ καὶ ἀσύμμετρος τῇ ΔΙ μήκει. καὶ ἐπεὶ αἱ ΑΒ, ΒΓ δυνάμει μόνον σύμμετροί εἰσιν, ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΒΓ μήκει· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΒ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ, τῷ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ τοῖς ἀπὸ τῶν ΑΒ, ΒΓ. ἴσον δὲ τοῖς μὲν ἀπὸ τῶν ΑΒ, ΒΓ τὸ ΔΕ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ΔΘ· ἀσύμμετρον ἄρα [ἐστὶ] τὸ ΔΕ τῷ ΔΘ. ὡς δὲ τὸ ΔΕ πρὸς τὸ ΔΘ, οὕτως ἡ ΗΔ πρὸς τὴν ΔΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΗΔ τῇ ΔΖ. καί εἰσιν ἀμφότεραι ῥηταί. αἱ ἄρα ΗΔ, ΔΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΖΗ ἄρα ἀποτομή ἐστιν. ῥητὴ δὲ ἡ ΔΙ· τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀλόγου περιεχόμενον ἄλογόν ἐστιν, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν. καὶ δύναται τὸ ΖΕ ἡ ΑΓ· ἡ ΑΓ ἄρα ἄλογός ἐστιν· καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα· ὅπερ ἔδει δεῖξαι.



ος'.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὰ μὲν ἀπ' αὐτῶν ἅμα ῥητόν, τὸ δ' ὑπ' αὐτῶν μέσον, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ ἐλάσσων.

Ἀπὸ γὰρ εὐθείας τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ ποιοῦσα τὰ προκείμενα. λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.



Ἐπεὶ γὰρ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων ῥητόν ἐστιν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μέσον, ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ ἀναστρέτὴν ὅλην τὴν AB δυνάμει μόνον σύμμετρος, μετὰ δὲ τῆς ὅλης τῆς AB νὰ περιέχῃ ὀρθογώνιον μέσον τὸ $AB \times B\Gamma$· λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ $A\Gamma$ εἶναι ἄλογος· ἂς καλῆται δὲ δευτέρα ἀποτομὴ μέσης.

Διότι ἂς ληφθῇ ἡ ΔI ῥητή, καὶ πρὸς μὲν τὸ ἄθροισμα $AB^2 + B\Gamma^2$ ἂς παραβληθῇ παρὰ τὴν ΔI τὸ ἰσοδύναμον ὀρθογώνιον ΔE σχηματίζον πλάτος τὴν ΔH, πρὸς δὲ τὸ $2AB \times B\Gamma$ ἂς παραβληθῇ παρὰ τὴν ΔI τὸ ἰσοδύναμον ὀρθογώνιον $\Delta\Theta$ σχηματίζον πλάτος τὴν ΔZ· τὸ ὑπόλοιπον ἄρα τὸ $ZE = A\Gamma^2$ (II. 7). Καὶ ἐπειδὴ τὰ AB^2, $B\Gamma^2$ εἶναι μέσα καὶ σύμμετρα, ἄρα καὶ τὸ ΔE εἶναι μέσον, (θ. 15, 23 πόρ. καὶ 74). Καὶ παράκειται τοῦτο παρὰ τὴν ῥητὴν τὴν ΔI σχηματίζον πλάτος τὴν ΔH· ἄρα ἡ ΔH εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔI, (θ. 22). Πάλιν, ἐπειδὴ τὸ ὀρθογώνιον $AB \times B\Gamma$ εἶναι μέσον, ἄρα καὶ τὸ $2AB \times B\Gamma$ εἶναι μέσον, (θ. 23, πόρισ.). Καὶ εἶναι τοῦτο ἰσοδύναμον πρὸς τὸ $\Delta\Theta$· ἄρα καὶ τὸ $\Delta\Theta$ εἶναι μέσον· καὶ ἔχει παραβληθῇ παρὰ τὴν ῥητὴν τὴν ΔI σχηματίζον πλάτος τὴν ΔZ· ἄρα ἡ ΔZ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔI, (θ. 22). Καὶ ἐπειδὴ αἱ AB, $B\Gamma$ εἶναι δυνάμει μόνον σύμμετροι, ἄρα ἡ AB εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν $B\Gamma$· ἄρα καὶ τὸ AB^2 εἶναι ἀσύμμετρον πρὸς τὸ $AB \times B\Gamma$, (θ. 11, θ. 21 λ.). Ἀλλὰ πρὸς μὲν τὸ AB^2 εἶναι σύμμετρον τὸ $AB^2 + B\Gamma^2$, πρὸς δὲ τὸ $AB \times B\Gamma$ εἶναι σύμμετρον τὸ $2AB \times B\Gamma$, (θ. 6)· ἄρα τὸ $2\,AB \times B\Gamma$ εἶναι ἀσύμμετρον πρὸς τὸ ἄθροισμα $AB^2 + B\Gamma^2$, (θ. 13). Εἶναι δὲ $AB^2 + B\Gamma^2 = \Delta E$ καὶ $2\,AB \times B\Gamma = \Delta\Theta$· ἄρα τὸ ΔE εἶναι ἀσύμμετρον πρὸς τὸ $\Delta\Theta$· ὡς δὲ τὸ $\Delta E : \Delta\Theta =$ ἡ $H\Delta : \Delta Z$, (VI. 1)· ἄρα ἡ $H\Delta$ εἶναι ἀσύμμετρος πρὸς τὴν ΔZ, (θ. 11). Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· ἄρα αἱ ῥηταὶ $H\Delta$, ΔZ εἶναι δυνάμει μόνον σύμμετροι· ἡ ZH ἄρα εἶναι ἀποτομή, (θ. 73). Εἶναι δὲ ῥητὴ ἡ ΔI· τὸ ὀρθογώνιον δὲ τὸ περιεχόμενον ὑπὸ ῥητῆς καὶ ἀλόγου εἶναι ἄλογον, (θ. 20) καὶ ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον μὲ αὐτὸ εἶναι ἄλογος. Καὶ εἶναι $A\Gamma^2 = ZE$· ἄρα ἡ $A\Gamma$ εἶναι ἄλογος· ἂς καλῆται δὲ δευτέρα ἀποτομὴ μέσης· ὅπερ ἔδει δεῖξαι.

76.

Ἐὰν ἀπὸ εὐθείας ἀφαιρεθῇ εὐθεῖα, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει ἀσύμμετρος, σχηματίζῃ δὲ μετὰ τῆς ὅλης τὸ μὲν ἄθροισμα τῶν τετραγώνων των ῥητόν, τὸ δὲ ὑπ' αὐτῶν περιεχόμενον ὀρθογώνιον μέσον, ἡ ὑπόλοιπος εἶναι ἄλογος· ἂς καλῆται δὲ ἐλάσσων.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τῆς εὐθείας AB, ἡ εὐθεῖα $B\Gamma$, ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ὅλην δυνάμει ἀσύμμετρος καὶ νὰ πληροῖ τὰ προκείμενα· Λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ $A\Gamma$ εἶναι ἄλογος ἡ καλουμένη ἐλάσσων.

Διότι, ἐπειδὴ τὸ ἄθροισμα $AB^2 + B\Gamma^2$ εἶναι ῥητόν, τὸ δὲ ὀρθογώνιον $2AB \times B\Gamma$ εἶναι μέσον, ἄρα τὸ $AB^2 + B\Gamma^2$ καὶ τὸ $2\,AB \times B\Gamma$ εἶναι ἀσύμμετρα·

ψαντι λοιπῷ τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ. ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ· ἄλογον ἄρα τὸ ἀπὸ τῆς ΑΓ· ἄλογος ἄρα ἡ ΑΓ· καλείσθω δὲ ἐλάσσων. ὅπερ ἔδει δεῖξαι.

οζ΄.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ᾽ αὐτῶν ῥητόν, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Ἀπὸ γὰρ εὐθείας τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ δυνάμει ἀσύμμετρος οὖσα τῇ ΑΒ ποιοῦσα τὰ προκείμενα· λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν ἡ προειρημένη.

Ἐπεὶ γὰρ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων μέσον ἐστίν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν, ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΓ ἀσύμμετρόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καί ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν· τὸ ἄρα ἀπὸ τῆς ΑΓ ἄλογόν ἐστιν· ἄλογος ἄρα ἐστὶν ἡ ΑΓ· καλείσθω δὲ ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα. ὅπερ ἔδει δεῖξαι.

οη΄.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τό τε συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων μέσον τό τε δὶς ὑπ᾽ αὐτῶν μέσον καὶ ἔτι τὰ ἀπ᾽ αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπ᾽ αὐτῶν, ἡ λοιπὴ ἄλογός ἐστιν· καλείσθω δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Ἀπὸ γὰρ εὐθείας τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ δυνάμει ἀσύμμετρος οὖσα τῇ ΑΒ ποιοῦσα τὰ προκείμενα· λέγω, ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν ἡ καλουμένη ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ ΔΙ, καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΒ, ΒΓ ἴσον παρὰ τὴν ΔΙ παραβεβλήσθω τὸ ΔΕ πλάτος ποιοῦν τὴν ΔΗ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἀφῃρήσθω τὸ ΔΘ [πλάτος ποιοῦν τὴν ΔΖ]. λοιπὸν ἄρα τὸ ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· ὥστε ἡ ΑΓ δύναται τὸ ΖΕ. καὶ ἐπεὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων μέσον ἐστὶ καί ἐστιν ἴσον τῷ ΔΕ, μέσον ἄρα [ἐστὶ] τὸ καὶ δι' ἀναστροφῆς (ΙΙ. 7) τὸ $ΑΒ^2 + ΒΓ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ ὑπόλοιπον τὸ $ΑΓ^2$, (θ. 16). Εἶναι δὲ ῥητὸν τὸ $ΑΒ^2 + ΒΓ^2$· ἄρα τὸ $ΑΓ^2$ εἶναι ἄλογον· ἄρα ἡ ΑΓ εἶναι ἄλογος (ὁρ. 4)· ἂς καλῆται δὲ ἐ λ ά σ σ ω ν· ὅπερ ἔδει δεῖξαι.

77.

Ἐ ὰ ν ἀ π ὸ ε ὐ θ ε ί α ς ἀ φ α ι ρ ε θ ῇ ε ὐ θ ε ῖ α, ἡ ὁ π ο ί α ε ἶ ν α ι π ρ ὸ ς τ ὴ ν ὅ λ η ν δ υ ν ά μ ε ι ἀ σ ύ μ μ ε τ ρ ο ς, σ χ η μ α τ ί ζ η δ ὲ μ ε τ ὰ τ ῆ ς ὅ λ η ς τ ὸ μ ὲ ν ἄ θ ρ ο ι σ μ α τ ῶ ν τ ε τ ρ α γ ώ ν ω ν τ ω ν μ έ σ ο ν, τ ὸ δ ὲ δ ι π λ ά σ ι ο ν ὀ ρ θ ο γ ώ ν ι ο ν α ὐ τ ῶ ν ῥ η τ ό ν, ἡ ὑ π ό λ ο ι π ο ς ε ἶ ν α ι ἄ λ ο γ ο ς· ἂ ς κ α λ ῆ τ α ι δ ὲ ἡ μ ε τ ὰ ῥ η τ ο ῦ μ έ σ ο ν τ ὸ ὅ λ ο ν π ο ι ο ῦ σ α.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τῆς εὐθείας ΑΒ ἡ εὐθεῖα ΒΓ, ἡ ὁποία νὰ εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ΑΒ καὶ νὰ πληροῖ τὰ προκείμενα· λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ ΑΓ εἶναι ἡ προειρημένη ἄλογος.

Διότι, ἐπειδὴ τὸ ἄθροισμα $ΑΒ^2 + ΒΓ^2$ εἶναι μέσον, τὸ δὲ $2\,ΑΒ \times ΒΓ$ εἶναι ῥητόν, ἄρα τὸ $ΑΒ^2 + ΒΓ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ $2\,ΑΒ \times ΒΓ$· ἄρα καὶ τὸ ὑπόλοιπον (ΙΙ. 7) τὸ $ΑΓ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ $2\,ΑΒ \times ΒΓ$ (θ. 16). Καὶ εἶναι τὸ $2\,ΑΒ \times ΒΓ$ ῥητόν· ἄρα τὸ $ΑΓ^2$ εἶναι ἄλογον· ἄρα ἡ ΑΓ εἶναι ἄλογος, (ὁρισ. 4)· ἂς καλῆται δὲ ἡ μ ε τ ὰ ῥ η τ ο ῦ μ έ σ ο ν τ ὸ ὅ λ ο ν π ο ι ο ῦ σ α. ὅπερ ἔδει δεῖξαι.

78.

Ἐ ὰ ν ἀ π ὸ ε ὐ θ ε ί α ς ἀ φ α ι ρ ε θ ῇ ε ὐ θ ε ῖ α, ἡ ὁ π ο ί α ε ἶ ν α ι π ρ ὸ ς τ ὴ ν ὅ λ η ν δ υ ν ά μ ε ι ἀ σ ύ μ μ ε τ ρ ο ς σ χ η μ α τ ί ζ η δ ὲ μ ε τ ὰ τ ῆ ς ὅ λ η ς κ α ὶ τ ὸ ἄ θ ρ ο ι σ μ α τ ῶ ν τ ε τ ρ α γ ώ ν ω ν α ὐ τ ῶ ν μ έ σ ο ν κ α ὶ τ ὸ δ ι π λ ά σ ι ο ν ὀ ρ θ ο γ ώ ν ι ο ν α ὐ τ ῶ ν μ έ σ ο ν κ α ὶ ἀ κ ό μ η τ ὸ ἄ θ ρ ο ι σ μ α τ ῶ ν τ ε τ ρ α γ ώ ν ω ν α ὐ τ ῶ ν ἀ σ ύ μ μ ε τ ρ ο ν π ρ ὸ ς τ ὸ δ ι π λ ά σ ι ο ν ὀ ρ θ ο γ ώ ν ι ο ν α ὐ τ ῶ ν, ἡ ὑ π ό λ ο ι π ο ς ε ἶ ν α ι ἄ λ ο γ ο ς· ἂ ς κ α λ ῆ τ α ι δ ὲ ἡ μ ε τ ὰ μ έ σ ο υ μ έ σ ο ν τ ὸ ὅ λ ο ν π ο ι ο ῦ σ α.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τῆς εὐθείας ΑΒ ἡ εὐθεῖα ΒΓ, ἡ ὁποία νὰ εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ΑΒ πληροῦσα τὰ προκείμενα· λέγω, ὅτι ἡ ὑπόλοιπος ἡ ΑΓ εἶναι ἄλογος ἡ καλουμένη ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Διότι ἂς ληφθῇ ἡ ΔΙ ῥητή, καὶ πρὸς μὲν τὸ ἄθροισμα $ΑΒ^2 + ΒΓ^2$ ἂς παραβληθῇ παρὰ τὴν ΔΙ ἰσοδύναμον ὀρθογώνιον τὸ ΔΕ σχηματίζον πλάτος τὴν ΔΗ, πρὸς δὲ τὸ $2\,ΑΒ \times ΒΓ$ ἰσοδύναμον ἂς ἀφαιρεθῇ τὸ ὀρθογώνιον ΔΘ σχηματίζον πλάτος τὴν ΔΖ. Τὸ ὑπόλοιπον ἄρα τὸ ΖΕ εἶναι ἴσον πρὸς τὸ $ΑΓ^2$ (ΙΙ. 7)· ὥστε τὸ τετράγωνον τῆς ΑΓ εἶναι ἰσοδύναμον πρὸς τὸ ΖΕ. Καὶ ἐπειδὴ

ΔΕ. καὶ παρὰ ῥητὴν τὴν ΔΙ παράκειται πλάτος ποιοῦν τὴν ΔΗ· ῥητὴ ἄρα ἐστὶν ἡ ΔΗ καὶ ἀσύμμετρος τῇ ΔΙ μήκει. πάλιν, ἐπεὶ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μέσον ἐστὶ καί ἐστιν ἴσον τῷ ΔΘ, τὸ ἄρα ΔΘ μέσον ἐστίν. καὶ παρὰ ῥητὴν τὴν ΔΙ παράκειται πλάτος ποιοῦν τὴν ΔΖ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΔΖ καὶ ἀσύμμετρος τῇ ΔΙ μήκει. καὶ ἐπεὶ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ, ἀσύμμετρον ἄρα καὶ τὸ ΔΕ τῷ ΔΘ. ὡς δὲ τὸ ΔΕ πρὸς τὸ ΔΘ, οὕτως ἐστὶ καὶ ἡ ΔΗ πρὸς τὴν ΔΖ· ἀσύμμετρος ἄρα ἡ ΔΗ τῇ ΔΖ·



καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΗΔ, ΔΖ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΖΗ· ῥητὴ δὲ ἡ ΖΘ· τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀποτομῆς περιεχόμενον [ὀρθογώνιον] ἄλογόν ἐστιν, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν· καὶ δύναται τὸ ΖΕ ἡ ΑΓ· ἡ ΑΓ ἄρα ἄλογός ἐστιν· καλείσθω δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα. ὅπερ ἔδει δεῖξαι.

οθʹ.

Τῇ ἀποτομῇ μία [μόνον] προσαρμόζει εὐθεῖα ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

Ἔστω ἀποτομὴ ἡ ΑΒ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΒΓ· αἱ ΑΓ, ΓΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· λέγω, ὅτι τῇ ΑΒ ἑτέρα οὐ προσαρμόζει ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

Εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ ΒΔ· καὶ αἱ ΑΔ, ΔΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ ἐπεί, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ, τούτῳ ὑπερέχει καὶ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· τῷ γὰρ αὐτῷ τῷ ἀπὸ τῆς ΑΒ ἀμφότερα ὑπερέχει· ἐναλλὰξ ἄρα, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τούτῳ ὑπερέχει [καὶ] τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. τὰ δὲ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ· ῥητὰ γὰρ ἀμφότερα· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀδύνατον· μέσα γὰρ ἀμφότερα, μέσον δὲ μέσου οὐχ ὑπερέχει ῥητῷ· τῇ ἄρα ΑΒ ἑτέρα οὐ προσαρμόζει ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

Μία ἄρα μόνη τῇ ἀποτομῇ προσαρμόζει ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· ὅπερ ἔδει δεῖξαι.

πʹ.

Τῇ μέσης ἀποτομῇ πρώτῃ μία μόνον προσαρμόζει τὸ ἄθροισμα $ΑΒ^2 + ΒΓ^2$ εἶναι μέσον καὶ ἰσοδ. πρὸς τὸ ΔΕ, ἄρα τὸ ΔΕ εἶναι μέσον. Καὶ παράκειται τοῦτο παρὰ τὴν ῥητὴν τὴν ΔΙ σχηματίζον πλάτος τὴν ΔΗ· ἄρα ἡ ΔΗ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔΙ, (θ. 22). Πάλιν, ἐπειδὴ τὸ $2\,ΑΒ \times ΒΓ$ εἶναι μέσον καὶ ἴσον πρὸς τὸ ΔΘ, ἄρα τὸ ΔΘ εἶναι μέσον. Καὶ παράκειται παρὰ τὴν ῥητὴν τὴν ΔΙ σχηματίζον πλάτος τὴν ΔΖ· ἄρα καὶ ἡ ΔΖ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔΙ, (θ. 22). Καὶ ἐπειδὴ τὸ ἄθροισμα $ΑΒ^2 + ΒΓ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ $2\,ΑΒ \times ΒΓ$, ἄρα καὶ τὸ ΔΕ εἶναι ἀσύμμετρον πρὸς τὸ ΔΘ. Εἶναι δὲ $ΔΕ : ΔΘ = ΔΗ : ΔΖ$, (VI. 1)· ἄρα ἡ ΔΗ εἶναι ἀσύμμετρος πρὸς τὴν ΔΖ, (θ. 11). Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· αἱ ῥηταὶ ἄρα ΗΔ, ΔΖ εἶναι δυνάμει μόνον σύμμετροι. Ἄρα ἡ ΖΗ εἶναι ἀποτομὴ (θ. 73)· εἶναι δὲ ῥητὴ ἡ ΖΘ. Το δὲ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ῥητῆς καὶ ἀποτομῆς εἶναι ἄλογον καὶ ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς αὐτὸ εἶναι ἄλογος. Καὶ τὸ τετράγωνον τῆς ΑΓ εἶναι ἰσοδύναμον πρὸς τὸ ΖΕ· ἄρα ἡ ΑΓ εἶναι ἄλογος· ἂς καλῆται δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα· ὅπερ ἔδει δεῖξαι.

79.

Π ρ ὸ ς τ ὴ ν ἀ π ο τ ο μ ὴ ν μ ί α μ ό ν ο ν ῥ η τ ὴ ε ὐ θ ε ῖ α π ρ ο σ α ρ- μ ό ζ ε ι, ἡ ὁ π ο ί α ε ἶ ν α ι π ρ ὸ ς τ ὴ ν ὅ λ η ν δ υ ν ά μ ε ι μ ό ν ο ν σ ύ μ- μ ε τ ρ ο ς.

Ἔστω ἡ ἀποτομὴ ΑΒ προσαρμόζουσα δὲ πρὸς αὐτὴν ἡ ΒΓ· αἱ ῥηταὶ ἄρα ΑΓ, ΓΒ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 73)· λέγω, ὅτι πρὸς τὴν ΑΒ οὐδεμία ἄλλη ῥητὴ προσαρμόζει, ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος.

Διότι ἐὰν εἶναι δυνατὸν ἂς προσαρμόζῃ ἡ ΒΔ· ἄρα καὶ αἱ ῥηταὶ ΑΔ, ΔΒ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 73). Καὶ ἐπειδὴ ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ $2\,ΑΔ \times ΔΒ$ κατὰ τοῦτο ὑπερέχει καὶ τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ τοῦ $2\,ΑΓ \times ΓΒ$· διότι ἕκαστον ὑπερέχει κατὰ τὸ αὐτὸ τὸ $ΑΒ^2$, (II 7)· ἐναλλὰξ ἄρα ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ ἀθροίσματος $ΑΓ^2 + ΓΒ^2$ κατὰ τὸ αὐτὸ ὑπερέχει καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ τοῦ $2\,ΑΓ \times ΓΒ$. Τὸ δὲ $ΑΔ^2 + ΔΒ^2$ ὑπερέχει τοῦ $ΑΓ^2 + ΓΒ^2$ κατὰ ῥητόν· διότι καὶ τὰ δύο εἶναι ῥητά· ἄρα καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ ὑπερέχει κατὰ ῥητὸν τοῦ $2ΑΓ \times ΓΒ$· ὅπερ ἀδύνατον· διότι εἶναι καὶ τὰ δύο μέσα, (θ. 21), μέσον δὲ δὲν ὑπερέχει μέσου κατὰ ῥητὸν, (θ. 26). Πρὸς τὴν ΑΒ ἄρα δὲν προσαρμόζει ἄλλη ῥητή, ἡ ὁποία νὰ εἶναι δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην.

Μία ἄρα ῥητὴ προσαρμόζει πρὸς τὴν ἀποτομήν, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος· ὅπερ ἔδει δεῖξαι.

80.

Π ρ ὸ ς τ ὴ ν π ρ ώ τ η ν ἀ π ο τ ο μ ὴ ν μ έ σ η ς π ρ ο σ α ρ μ ό ζ ε ι εὐθεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχουσα.

Ἔστω γὰρ μέσης ἀποτομὴ πρώτη ἡ *ΑΒ*, καὶ τῇ *ΑΒ* προσαρμοζέτω ἡ *ΒΓ*· αἱ *ΑΓ*, *ΓΒ* ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι τὸ ὑπὸ τῶν *ΑΓ*, *ΓΒ*· λέγω, ὅτι τῇ *ΑΒ* ἑτέρα οὐ προσαρμόζει μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχουσα.

Εἰ γὰρ δυνατόν, προσαρμοζέτω καὶ ἡ *ΔΒ*· αἱ ἄρα *ΑΔ*, *ΔΒ* μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι τὸ ὑπὸ τῶν *ΑΔ*, *ΔΒ*. καὶ ἐπεί, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν *ΑΔ*, *ΔΒ* τοῦ δὶς ὑπὸ τῶν *ΑΔ*, *ΔΒ*, τούτῳ ὑπερέχει καὶ τὰ ἀπὸ τῶν *ΑΓ*, *ΓΒ* τοῦ δὶς ὑπὸ τῶν *ΑΓ*, *ΓΒ*· τῷ γὰρ αὐτῷ [πάλιν] ὑπερέχουσι τῷ ἀπὸ τῆς *ΑΒ*· ἐναλλὰξ ἄρα, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν *ΑΔ*, *ΔΒ* τῶν ἀπὸ τῶν *ΑΓ*, *ΓΒ*, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν *ΑΔ*, *ΔΒ* τοῦ δὶς ὑπὸ τῶν *ΑΓ*, *ΓΒ*. τὸ δὲ δὶς ὑπὸ τῶν *ΑΔ*, *ΔΒ* τοῦ δὶς ὑπὸ τῶν *ΑΓ*, *ΓΒ* ὑπερέχει ῥητῷ· ῥητὰ γὰρ ἀμφότερα· καὶ τὰ ἀπὸ τῶν *ΑΔ*, *ΔΒ* ἄρα τῶν ἀπὸ τῶν *ΑΓ*, *ΓΒ* [τετραγώνων] ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀδύνατον· μέσα γάρ ἐστιν ἀμφότερα, μέσον δὲ μέσου οὐχ ὑπερέχει ῥητῷ.

Τῇ ἄρα μέσης ἀποτομῇ πρώτῃ μία μόνον προσαρμόζει εὐθεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχουσα· ὅπερ ἔδει δεῖξαι.

πα'.

Τῇ μέσης ἀποτομῇ δευτέρᾳ μία μόνον προσαρμόζει εὐθεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα.

Ἔστω μέσης ἀποτομὴ δευτέρα ἡ *ΑΒ* καὶ τῇ *ΑΒ* προσαρμόζουσα ἡ *ΒΓ*· αἱ ἄρα *ΑΓ*, *ΓΒ* μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι τὸ ὑπὸ τῶν *ΑΓ*, *ΓΒ*· λέγω, ὅτι τῇ *ΑΒ* ἑτέρα οὐ προσαρμόσει εὐθεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα.



Εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ *ΒΔ*· καὶ αἱ *ΑΔ*, *ΔΒ* ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι τὸ ὑπὸ τῶν *ΑΔ*, *ΔΒ*. καὶ ἐκκείσθω ῥητὴ ἡ *ΕΖ*, καὶ τοῖς μὲν ἀπὸ τῶν *ΑΓ*, *ΓΒ* ἴσον παρὰ τὴν *ΕΖ* παραβεβλήσθω τὸ *ΕΗ* πλάτος ποιοῦν τὴν *ΕΜ*· τῷ δὲ δὶς ὑπὸ τῶν *ΑΓ*, *ΓΒ* ἴσον ἀφῃρήσθω τὸ *ΘΗ* πλάτος ποιοῦν τὴν *ΘΜ*· λοιπὸν ἄρα τὸ *ΕΛ* ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΑΒ*· ὥστε ἡ *ΑΒ* δύναται τὸ *ΕΛ*. πάλιν δὴ τοῖς ἀπὸ τῶν *ΑΔ*, *ΔΒ* ἴσον παρὰ τὴν *ΕΖ* παραβεβλήμία μόνον εὐθεῖα μέση, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος, μετὰ δὲ τῆς ὅλης περιέχει ὀρθογώνιον ῥητόν.

Διότι ἔστω ἡ ΑΒ πρώτη ἀποτομὴ μέσης καὶ πρὸς τὴν ΑΒ ἂς προσαρμόζῃ ἡ ΒΓ· αἱ μέσαι ἄρα ΑΓ, ΓΒ εἶναι δυνάμει μόνον σύμμετροι περιέχουσαι ῥητὸν ὀρθογώνιον τὸ ΑΓ × ΓΒ, (θ. 74)· λέγω, ὅτι πρὸς τὴν ΑΒ δὲν προσαρμόζει ἄλλη μέση, ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος καὶ νὰ περιέχῃ μετὰ τῆς ὅλης ὀρθογώνιον ῥητόν.

Διότι ἐὰν εἶναι δυνατὸν ἂς προσαρμόζῃ καὶ ἡ ΔΒ· αἱ μέσαι ἄρα ΑΔ, ΔΒ εἶναι δυνάμει μόνον σύμμετροι περιέχουσαι ῥητὸν ὀρθογώνιον τὸ ΑΔ × ΔΒ (θ. 74). Καὶ ἐπειδή, ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ 2 ΑΔ × ΔΒ κατὰ τοῦτο ὑπερέχει καὶ τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ τοῦ 2 ΑΓ × ΓΒ· διότι πάλιν ὑπερέχουσι κατὰ τὸ αὐτό, τὸ τετράγωνον τῆς ΑΒ, (ΙΙ. 7)· ἐναλλὰξ ἄρα, ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ ἀθροίσματος $ΑΓ^2 + ΓΒ^2$, κατὰ τοῦτο ὑπερέχει καὶ τὸ 2 ΑΔ × ΔΒ τοῦ 2 ΑΓ × ΓΒ. Τὸ δὲ 2 ΑΔ × ΔΒ ὑπερέχει τοῦ 2 ΑΓ × ΓΒ κατὰ ῥητόν· διότι εἶναι καὶ τὰ δύο ῥητά· ἄρα καὶ τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ ὑπερέχει τοῦ ἀθροίσματος $ΑΓ^2 + ΓΒ^2$ κατὰ ῥητόν· ὅπερ ἀδύνατον· διότι εἶναι καὶ τὰ δύο μέσα, (θ. 24) καὶ μέσον δὲν ὑπερέχει μέσου κατὰ ῥητόν, (θ. 26).

Πρὸς τὴν πρώτην ἄρα ἀποτομὴν μέσης προσαρμόζει μόνον μία εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην, καὶ περιέχει μετὰ τῆς ὅλης ὀρθογώνιον ῥητόν· ὅπερ ἔδει δεῖξαι.

81.

Πρὸς τὴν δευτέραν ἀποτομὴν μέσης προσαρμόζει μόνον μία εὐθεῖα μέση, ἡ ὁποία εἶναι δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην, περιέχει δὲ μετὰ τῆς ὅλης ὀρθογώνιον μέσον.

Ἔστω ἡ ΑΒ δευτέρα ἀποτομὴ μέσης καί ὅτι πρὸς τὴν ΑΒ προσαρμόζει ἡ ΒΓ· αἱ μέσαι ἄρα ΑΓ, ΓΒ εἶναι δυνάμει μόνον σύμμετροι περιέχουσαι ὀρθογώνιον μέσον τὸ ΑΓ × ΓΒ, (θ. 75)· λέγω ὅτι πρὸς τὴν ΑΒ δὲν θὰ προσαρμόσῃ ἄλλη εὐθεῖα μέση, ἡ ὁποία νὰ εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος καὶ νὰ περιέχῃ μετὰ τῆς ὅλης ὀρθογώνιον μέσον.

Διότι, ἐὰν εἶναι δυνατὸν ἂς προσαρμόζῃ ἡ ΒΔ· ἄρα καὶ αἱ μέσαι ΑΔ, ΔΒ εἶναι δυνάμει μόνον σύμμετροι περιέχουσαι ὀρθογώνιον μέσον τὸ ΑΔ × ΔΒ (θ. 75). Καὶ ἂς ληφθῇ ῥητὴ ἡ ΕΖ, καὶ πρὸς μὲν τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ ἂς παραβληθῇ ἰσοδύναμον παρὰ τὴν ΕΖ τὸ ὀρθογώνιον ΕΗ σχηματίζον πλάτος τὴν ΕΜ· πρὸς δὲ τὸ 2 ΑΓ × ΓΒ ἰσοδύναμον ἂς ἀφαιρεθῇ τὸ ΘΗ σχηματίζον πλάτος τὴν ΘΜ· ἄρα τὸ ὑπόλοιπον τὸ ΕΛ εἶναι ἰσοδύναμον πρὸς τὸ $ΑΒ^2$, (ΙΙ. 7)· ὥστε τὸ τετράγωνον τῆς ΑΒ ἰσοῦται πρὸς τὸ ΕΛ. Πάλιν τώρα, ἂς παραβληθῇ σθω τὸ ΕΙ πλάτος ποιοῦν τὴν ΕΝ· ἔστι δὲ καὶ τὸ ΕΛ ἴσον τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ· λοιπὸν ἄρα τὸ ΘΙ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ. καὶ ἐπεὶ μέσαι εἰσὶν αἱ ΑΓ, ΓΒ, μέσα ἄρα ἐστὶ καὶ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ. καί ἐστιν ἴσα τῷ ΕΗ· μέσον ἄρα καὶ τὸ ΕΗ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΕΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΜ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, καὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ μέσον ἐστίν. καί ἐστιν ἴσον τῷ ΘΗ· καὶ τὸ ΘΗ ἄρα μέσον ἐστίν. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΘΜ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΘΜ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ αἱ ΑΓ, ΓΒ δυνάμει μόνον σύμμετροί εἰσιν, ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΓΒ μήκει. ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ, οὕτως ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΓ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ, τῷ δὲ ὑπὸ τῶν ΑΓ, ΓΒ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. καί ἐστι τοῖς μὲν ἀπὸ τῶν ΑΓ, ΓΒ ἴσον τὸ ΕΗ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἴσον τὸ ΗΘ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΕΗ τῷ ΘΗ. ὡς δὲ τὸ ΕΗ πρὸς τὸ ΘΗ, οὕτως ἐστὶν ἡ ΕΜ πρὸς τὴν ΘΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΜ τῇ ΜΘ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί. αἱ ΕΜ, ΜΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΘ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘΜ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΘΝ αὐτῇ προσαρμόζει· τῇ ἄρα ἀποτομῇ ἄλλη καὶ ἄλλη προσαρμόζει εὐθεῖα δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· ὅπερ ἐστὶν ἀδύνατον.

Τῇ ἄρα μέσης ἀποτομῇ δευτέρᾳ μία μόνον προσαρμόζει εὐθεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα· ὅπερ ἔδει δεῖξαι.

πβʹ.

Τ ῇ ἐ λ ά σ σ ο ν ι μ ί α μ ό ν ο ν π ρ ο σ α ρ μ ό ζ ε ι ε ὐ θ ε ῖ α δ υ ν ά μ ε ι ἀ σ ύ μ μ ε τ ρ ο ς ο ὖ σ α τ ῇ ὅ λ ῃ π ο ι ο ῦ σ α μ ε τ ὰ τ ῆ ς ὅ λ η ς τ ὸ μ ὲ ν ἐ κ τ ῶ ν ἀ π᾽ α ὐ τ ῶ ν τ ε τ ρ α γ ώ ν ω ν ῥ η τ ό ν, τ ὸ δ ὲ δ ὶ ς ὑ π᾽ α ὐ τ ῶ ν μ έ σ ο ν.

Ἔστω ἡ ἐλάσσων ἡ ΑΒ, καὶ τῇ ΑΒ προσαρμόζουσα ἔστω ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπ᾽ αὐτῶν μέσον· λέγω, ὅτι τῇ ΑΒ ἑτέρα εὐθεῖα οὐ προσαρμόσει τὰ αὐτὰ ποιοῦσα.



Εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ ΒΔ· καὶ αἱ ΑΔ, ΔΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὰ προειρημένα. καὶ ἐπεί, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ παρὰ τὴν ΕΖ ἰσοδύναμον πρὸς τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τὸ ὀρθογώνιον ΕΙ σχηματίζον πλάτος τὴν ΕΝ· εἶναι δὲ καὶ $ΕΛ = ΑΒ^2$· ἄρα τὸ ὑπόλοιπον τὸ $ΘΙ = 2\,ΑΔ \times ΔΒ$, (II. 7). Καὶ ἐπειδὴ αἱ ΑΓ, ΓΒ εἶναι μέσαι ἄρα καὶ τὸ $ΑΓ^2 + ΓΒ^2$ εἶναι μέσον· καὶ εἶναι $ΑΓ^2 + ΓΒ^2 = ΕΗ$· ἄρα καὶ τὸ ΕΗ εἶναι μέσον. Καὶ παράκειται παρὰ τὴν ΕΖ σχηματίζον πλάτος τὴν ΕΜ· ἄρα ἡ ΕΜ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θ. 22). Πάλιν, ἐπειδὴ τὸ $ΑΓ \times ΓΒ$ εἶναι μέσον, εἶναι μέσον καὶ τὸ $2\,ΑΓ \times ΓΒ$, (θ. 23, πόρ.). Καὶ εἶναι τοῦτο ἴσον πρὸς τὸ ΘΗ· ἄρα καὶ τὸ ΘΗ εἶναι μέσον. Καὶ παράκειται παρὰ τὴν ῥητὴν τὴν ΕΖ σχηματίζον πλάτος τὴν ΘΜ· ἄρα καὶ ἡ ΘΜ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θ. 22). Καὶ ἐπειδὴ αἱ ΑΓ, ΓΒ εἶναι δυνάμει μόνον σύμμετροι, ἄρα ἡ ΑΓ εἶναι πρὸς τὴν ΓΒ μήκει ἀσύμμετρος. Εἶναι δὲ $ΑΓ : ΓΒ = ΑΓ^2 : ΑΓ \times ΓΒ$, (θ. 21, πόρ.)· ἄρα τὸ $ΑΓ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ $ΑΓ \times ΓΒ$, (θ. 11). Ἀλλὰ πρὸς μὲν τὸ $ΑΓ^2$ εἶναι σύμμετρον τὸ $ΑΓ^2 + ΓΒ^2$ πρὸς δὲ τὸ $ΑΓ \times ΓΒ$ εἶναι σύμμετρον τὸ $2\,ΑΓ \times ΓΒ$· ἄρα τὸ $ΑΓ^2 + ΓΒ^2$ καὶ $2\,ΑΓ \times ΓΒ$ εἶναι ἀσύμμετρα, (θ. 13). Καὶ εἶναι $ΑΓ^2 + ΓΒ^2 = ΕΗ$, ἐν ᾧ $2\,ΑΓ \times ΓΒ = ΗΘ$· ἄρα τὸ ΕΗ εἶναι ἀσύμμετρον πρὸς τὸ ΘΗ. Ὡς δὲ τὸ $ΕΗ : ΘΗ =$ ἡ $ΕΜ : ΘΜ$, (VI. 1)· ἄρα ἡ ΕΜ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΜΘ, (θ. 11). Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· αἱ ῥηταὶ ἄρα ΕΜ, ΜΘ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΕΘ εἶναι ἀποτομή, (θ. 73), προσαρμόζουσα δὲ πρὸς αὐτὴν ἡ ΘΜ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ ΘΝ προσαρμόζει εἰς αὐτήν· πρὸς τὴν ἀποτομὴν ἄρα προσαρμόζει καὶ ἄλλη διάφορος εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην· ὅπερ ἀδύνατον (θ. 79).

Πρὸς τὴν δευτέραν ἄρα ἀποτομὴν μέσης μία μόνον εὐθεῖα μέση προσαρμόζει, ἡ ὁποία εἶναι δυνάμει μόνον σύμμετρος πρὸς τὴν ὅλην, καὶ περιέχει μετὰ τῆς ὅλης ὀρθογώνιον μέσον· ὅπερ ἔδει δεῖξαι.

82.

Πρὸς τὴν ἐλάσσονα μία μόνον προσαρμόζει εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην σχηματίζουσα μετὰ τῆς ὅλης τὸ μὲν ἄθροισμα τῶν τετραγώνων αὐτῶν ῥητόν, τὸ δὲ διπλάσιον ὀρθογώνιον αὐτῶν μέσον.

Ἔστω ἡ ἐλάσσων ἡ ΑΒ καὶ πρὸς τὴν ΑΒ ἔστω προσαρμόζουσα ἡ ΒΓ· ἄρα αἱ ΑΓ, ΓΒ εἶναι δυνάμει ἀσύμμετροι σχηματίζουσαι τὸ ἄθροισμα τῶν τετραγώνων αὐτῶν ῥητόν, τὸ δὲ διπλάσιον ὀρθογώνιον αὐτῶν μέσον, (θ. 76)· λέγω, ὅτι ἄλλη εὐθεῖα δὲν θὰ προσαρμόσῃ πρὸς τὴν ΑΒ σχηματίζουσα τὰ αὐτά.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς προσαρμόζῃ ἡ ΒΔ· ἄρα καὶ αἱ ΑΔ, ΔΒ εἶναι δυνάμει ἀσύμμετροι πληροῦσαι τὰ προειρημένα, (θ. 76). Καὶ ἐπειδὴ ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ ἀρθοίσματος $ΑΓ^2 + ΓΒ^2$ κατὰ τοῦτο τῶν ΑΓ, ΓΒ, τὰ δὲ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνων ὑπερέχει ῥητῷ· ῥητὰ γάρ ἐστιν ἀμφότερα· καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ ἄρα τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀδύνατον· μέσα γάρ ἐστιν ἀμφότερα.

Τῇ ἄρα ἐλάσσονι μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ καὶ ποιοῦσα τὰ μὲν ἀπ᾽ αὐτῶν τετράγωνα ἅμα ῥητόν, τὸ δὲ δὶς ὑπ᾽ αὐτῶν μέσον· ὅπερ ἔδει δεῖξαι.

πγ'.

Τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ᾽ αὐτῶν ῥητόν.

Ἔστω ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἡ ΑΒ, καὶ τῇ ΑΒ προσαρμοζέτω ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὰ προκείμενα· λέγω, ὅτι τῇ ΑΒ ἑτέρα οὐ προσαρμόσει τὰ αὐτὰ ποιοῦσα.

Εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ ΒΔ· καὶ αἱ ΑΔ, ΔΒ ἄρα εὐθεῖαι δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὰ προκείμενα. ἐπεὶ οὖν, ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἀκολούθως τοῖς πρὸ αὐτοῦ, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ· ῥητὰ γάρ ἐστιν ἀμφότερα· καὶ τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ ἄρα τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀδύνατον· μέσα γάρ ἐστιν ἀμφότερα. οὐκ ἄρα τῇ ΑΒ ἑτέρα προσαρμόσει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὰ προειρημένα· μία ἄρα μόνον προσαρμόσει· ὅπερ ἔδει δεῖξαι.

πδ'.

Τῇ μετὰ μέσου μέσον τὸ ὅλον ποιούσῃ μία μόνη προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τό τε συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων μέσον τό τε δὶς ὑπ᾽ αὐτῶν μέσον καὶ ἔτι ἀσύμμετρον τῷ συγκειμένῳ ἐκ τῶν ἀπ᾽ αὐτῶν.

Ἔστω ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα ἡ ΑΒ, προσαρμόζουσα δὲ υπερέχει καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ τοῦ $2\,ΑΓ \times ΓΒ$, (ΙΙ. 7 καὶ θ. 79) εἶναι δὲ ἡ ὑπεροχὴ τοῦ $ΑΔ^2 + ΔΒ^2$ ἀπὸ τοῦ $ΑΓ^2 + ΓΒ^2$ ὀρθογώνιον ῥητόν· διότι καὶ τὰ δύο εἶναι ῥητά· ἄρα καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ ὑπερέχει τοῦ $2\,ΑΓ \times ΓΒ$ κατὰ ῥητόν· ὅπερ ἀδύνατον· διότι καὶ τὰ δύο εἶναι μέσα.

Πρὸς τὴν ἐλάσσονα ἄρα προσαρμόζει μία μόνον εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην καὶ σχηματίζει μετὰ τῆς ὅλης τὸ μὲν ἄθροισμα τῶν τετραγώνων αὐτῶν ῥητόν, τὸ δὲ διπλάσιον ὀρθογώνιον αὐτῶν μέσον· ὅπερ ἔδει δεῖξαι.

83.

Πρὸς τὴν σχηματίζουσαν μετὰ ῥητοῦ μέσον τὸ ὅλον προσαρμόζει μία μόνον εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην, σχηματίζει δὲ μετὰ τῆς ὅλης τὸ μὲν ἄθροισμα τῶν τετραγώνων αὐτῶν μέσον, τὸ δὲ διπλάσιον ὀρθογώνιον αὐτῶν ῥητόν.

Ἔστω ἡ ΑΒ, ἡ ὁποία σχηματίζει μετὰ ῥητοῦ μέσον τὸ ὅλον, καὶ πρὸς τὴν ΑΒ ἂς προσαρμόζῃ ἡ ΒΓ· ἄρα αἱ ΑΓ, ΓΒ εἶναι δυνάμει ἀσύμμετροι σχηματίζουσαι τὰ προκείμενα, (θ. 17)· λέγω, ὅτι πρὸς τὴν ΑΒ δὲν προσαρμόζει ἄλλη εὐθεῖα σχηματίζουσα τὰ αὐτά.

Διότι ἐὰν εἶναι δυνατόν, ἂς προσαρμόζῃ ἡ ΒΔ· ἄρα καὶ αἱ εὐθεῖαι ΑΔ, ΔΒ εἶναι δυνάμει ἀσύμμετροι σχηματίζουσαι τὰ προκείμενα, (θ. 77). Ἐπειδὴ λοιπόν, ὅ,τι ὑπερέχει τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ τοῦ ἀθροίσματος $ΑΓ^2 + ΓΒ^2$ κατὰ τοῦτο ὑπερέχει καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ τοῦ $2\,ΑΓ \times ΓΒ$, συμφώνως πρὸς τὸ προηγούμενον θεώρημα, τὸ δὲ $2\,ΑΔ \times ΔΒ$ ὑπερέχει τοῦ $2\,ΑΓ \times ΓΒ$ κατὰ ῥητόν· διότι εἶναι καὶ τὰ δύο ῥητά· ἄρα καὶ τὸ $ΑΔ^2 + ΔΒ^2$ ὑπερέχει τοῦ $ΑΓ^2 + ΓΒ^2$ κατὰ ῥητόν· ὅπερ ἀδύνατον· διότι εἶναι καὶ τὰ δύο μέσα, (θ. 26). Ἄρα πρὸς τὴν ΑΒ δὲν θὰ προσαρμόσῃ ἄλλη εὐθεῖα, ἡ ὁποία θὰ εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην, μετὰ τῆς ὅλης δὲ νὰ σχηματίζῃ τὰ προειρημένα· ἄρα θὰ προσαρμόσῃ μία μόνον· ὅπερ ἔδει δεῖξαι.

84.

Εἰς τὴν σχηματίζουσαν μετὰ μέσου μέσον τὸ ὅλον προσαρμόζει μία μόνη εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην, μετὰ δὲ τῆς ὅλης σχηματίζει καὶ τὸ ἄθροισμα τῶν τετραγώνων των μέσον καὶ τὸ διπλάσιον ὀρθογώνιον αὐτῶν μέσον καὶ ἀκόμη ἀσύμμετρον πρὸς τὸ ἄθροισμα τῶν τετραγώνων των.

Ἔστω ἡ εὐθεῖα ΑΒ, ἡ ὁποία σχηματίζει μετὰ μέσου μέσον τὸ ὅλον, προσαὐτῇ ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὰ προειρημένα. λέγω, ὅτι τῇ ΑΒ ἑτέρα οὐ προσαρμόσει ποιοῦσα τὰ προειρημένα.

Εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ ΒΔ, ὥστε καὶ τὰς ΑΔ, ΔΒ δυνάμει ἀσυμμέτρους εἶναι ποιούσας τά τε ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα ἅμα μέσον καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ μέσον καὶ ἔτι τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ ἀσύμμετρα τῷ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ· καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ, καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΓ, ΓΒ ἴσον παρὰ τὴν ΕΖ παραβεβλήσθω τὸ ΕΗ πλάτος ποιοῦν τὴν ΕΜ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἴσον παρὰ τὴν ΕΖ παραβεβλήσθω τὸ ΘΗ πλάτος ποιοῦν τὴν ΘΜ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ΕΛ· ἡ ἄρα ΑΒ δύναται τὸ ΕΛ. πάλιν τοῖς ἀπὸ τῶν ΑΔ, ΔΒ ἴσον παρὰ τὴν ΕΖ παραβεβλήσθω τὸ ΕΙ πλάτος ποιοῦν τὴν ΕΝ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΑΒ ἴσον τῷ ΕΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ ἴσον [ἐστὶ] τῷ ΘΙ· καὶ ἐπεὶ μέσον ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ καί ἐστιν ἴσον τῷ ΕΗ, μέσον ἄρα ἐστὶ καὶ τὸ ΕΗ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΕΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΜ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ καί ἐστιν ἴσον τῷ ΘΗ, μέσον ἄρα καὶ τὸ ΘΗ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΘΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΜ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, ἀσύμμετρόν ἐστι καὶ τὸ ΕΗ τῷ ΘΗ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΕΜ τῇ ΜΘ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί. αἱ ἄρα ΕΜ, ΜΘ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΘ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘΜ. ὁμοίως δὴ δείξομεν, ὅτι ἡ ΕΘ πάλιν ἀποτομή ἐστιν, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘΝ. τῇ ἄρα ἀποτομῇ ἄλλη καὶ ἄλλη προσαρμόζει ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· ὅπερ ἐδείχθη ἀδύνατον. οὐκ ἄρα τῇ ΑΒ ἑτέρα προσαρμόσει εὐθεῖα.



Τῇ ἄρα ΑΒ μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τά τε ἀπ᾽ αὐτῶν τετράγωνα ἅμα μέσον κ ὶ τὸ δὶς ὑπ᾽ αὐτῶν μέσον καὶ ἔτι τὰ ἀπ᾽ αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπ᾽ αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

Ὅροι τρίτοι.

α´. Ὑποκειμένης ῥητῆς καὶ ἀποτομῆς, ἐὰν μὲν ἡ ὅλη τῆς προσαρμοζούσης μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἡ ὅλη σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καλείσθω ἀ π ο τ ο μ ὴ π ρ ώ τ η.

αρμόζουσα δὲ εἰς αὐτὴν ἡ ΒΓ· ἄρα αἱ ΑΓ, ΓΒ εἶναι δυνάμει ἀσύμμετροι σχηματίζουσαι τὰ προειρημένα, (θ. 78). Λέγω, ὅτι πρὸς τὴν ΑΒ δὲν θα προσαρμόσῃ ἄλλη εὐθεῖα σχηματίζουσα τὰ προειρημένα.

Διότι, ἐὰν εἶναι δυνατὸν ἂς προσαρμόζῃ ἡ ΒΔ, ὥστε καὶ αἱ ΑΔ, ΔΒ νὰ εἶναι δυνάμει ἀσύμμετροι καὶ νὰ σχηματίζωσι καὶ τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ μέσον καὶ τὸ $2\,ΑΔ \times ΔΒ$ μέσον καὶ ἀκόμη τὸ $ΑΔ^2 + ΔΒ^2$ ἀσύμμετρον πρὸς τὸ $2\,ΑΔ \times ΔΒ$, (θ. 78)· καὶ ἂς ληφθῇ ἡ ΕΖ ῥητή, καὶ πρὸς μὲν τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ ἰσοδύναμον ἂς παραβληθῇ παρὰ τὴν ΕΖ τὸ ὀρθογώνιον ΕΗ σχηματίζον πλάτος τὴν ΕΜ, πρὸς δὲ τὸ $2\,ΑΓ \times ΓΒ$ ἰσοδύναμον ἂς παραβληθῇ παρὰ τὴν ΕΖ τὸ ὀρθογώνιον ΘΗ σχηματίζον πλάτος τὴν ΘΜ· τὸ ὑπόλοιπον ἄρα τὸ $ΑΒ^2 = ΕΛ$, (ΙΙ. 7)· τὸ τετράγωνον ἄρα τῆς $ΑΒ = ΕΛ$. Πάλιν, πρὸς τὸ ἄθροισμα $ΑΔ^2 + ΔΒ^2$ ἰσοδύναμον ἂς παραβληθῇ παρὰ τὴν ΕΖ τὸ ὀρθογώνιον ΕΙ σχηματίζον πλάτος τὴν ΕΝ. Εἶναι δὲ καὶ τὸ $ΑΒ^2 = ΕΛ$· τὸ ὑπόλοιπον ἄρα τὸ $2\,ΑΔ \times ΔΒ = ΘΙ$, (ΙΙ. 7). Καὶ ἐπειδὴ τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ εἶναι μέσον καὶ ἴσον πρὸς τὸ ΕΗ, ἄρα καὶ τὸ ΕΗ εἶναι μέσον. Καὶ παράκειται τοῦτο παρὰ τὴν ῥητὴν τὴν ΕΖ σχηματίζον πλάτος τὴν ΕΜ· ἄρα ἡ ΕΜ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θ. 22). Πάλιν, ἐπειδὴ τὸ $2\,ΑΓ \times ΓΒ$ εἶναι μέσον καὶ ἴσον πρὸς τὸ ΘΗ, ἄρα καὶ τὸ ΘΗ εἶναι μέσον. Καὶ παράκειται τοῦτο παρὰ ῥητὴν τὴν ΕΖ σχηματίζον πλάτος τὴν ΘΜ· ἄρα καὶ ἡ ΘΜ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θ. 22). Καὶ ἐπειδὴ τὸ ἄθροισμα $ΑΓ^2 + ΓΒ^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ $2\,ΑΓ \times ΓΒ$, εἶναι καὶ τὸ ΕΗ ἀσύμμετρον πρὸς τὸ ΘΗ· ἄρα καὶ ἡ ΕΜ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΜΘ, (VI. 1 καὶ θ. 11). Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· αἱ ῥηταὶ ἄρα ΕΜ, ΜΘ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΕΘ εἶναι ἀποτομή, (θ. 73) προσαρμόζουσα δὲ εἰς αὐτὴν ἡ ΘΜ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν ὅτι ἡ ΕΘ εἶναι πάλιν ἀποτομή, προσαρμόζουσα δὲ εἰς αὐτὴν ἡ ΘΝ. Πρὸς τὴν ἀποτομὴν ἄρα προσαρμόζει καὶ ἄλλη διάφορος εὐθεῖα ῥητή, ἡ ὁποία εἶναι πρὸς τὴν ὅλην δυνάμει μόνον σύμμετρος· ὅπερ ἐδείχθη ἀδύνατον, (θ. 79). Δὲν θὰ προσαρμόσῃ ἄρα εἰς τὴν ΑΒ ἄλλη εὐθεῖα.

Εἰς τὴν ΑΒ ἄρα μία μόνον προσαρμόζει εὐθεῖα, ἡ ὁποία εἶναι δυνάμει ἀσύμμετρος πρὸς τὴν ὅλην, μετὰ δὲ τῆς ὅλης σχηματίζει καὶ τὸ ἄθροισμα τῶν τετραγώνων αὐτῶν μέσον καὶ τὸ διπλάσιον ὀρθογώνιον αὐτῶν μέσον καὶ ἀκόμη τὸ ἄθροισμα τῶν τετραγώνων των ἀσύμμετρον πρὸς τὸ διπλάσιον ὀρθογώνιον αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

Ὁρισμοὶ τρίτοι.

1. Ληφθείσης ῥητῆς καὶ ἀποτομῆς, ἐὰν μὲν τὸ τετράγωνον τῆς ὅλης ὑπερέχῃ τοῦ τετραγώνου τῆς προσαρμοζούσης κατὰ τετράγωνον πλευρᾶς μήκει συμμέτρου πρὸς αὐτήν, καὶ ἡ ὅλη εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, ἂς καλῆται ἡ ἀποτομὴ πρώτη ἀποτομή.

β'. Ἐὰν δὲ ἡ προσαρμόζουσα σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ὅλη τῆς προσαρμοζούσης μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καλείσθω ἀποτομὴ δευτέρα.

γ'. Ἐὰν δὲ μηδετέρα σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, ἡ δὲ ὅλη τῆς προσαρμοζούσης μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καλείσθω ἀποτομὴ τρίτη.

δ'. Πάλιν, ἐὰν ἡ ὅλη τῆς προσαρμοζούσης μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ [μήκει], ἐὰν μὲν ἡ ὅλη σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καλείσθω ἀποτομὴ τετάρτη.

ε'. Ἐὰν δὲ ἡ προσαρμόζουσα, πέμπτη.

ς'. Ἐὰν δὲ μηδετέρα, ἕκτη.

πε'.

Εὑρεῖν τὴν πρώτην ἀποτομήν.

Ἐκκείσθω ῥητὴ ἡ Α, καὶ τῇ Α μήκει σύμμετρος ἔστω ἡ ΒΗ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΒΗ. καὶ ἐκκείσθωσαν δύο τετράγωνοι ἀριθμοὶ οἱ ΔΕ, ΕΖ, ὧν ἡ ὑπεροχὴ ὁ ΖΔ μὴ ἔστω τετράγωνος· οὐδ᾽ ἄρα ὁ ΕΔ πρὸς τὸν ΔΖ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. καὶ πεποιήσθω ὡς ὁ ΕΔ πρὸς τὸν ΔΖ, οὕτως τὸ ἀπὸ τῆς ΒΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΓ τετράγωνον· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΗ τῷ ἀπὸ τῆς ΗΓ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΒΗ· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΓ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΗΓ. καὶ ἐπεὶ ὁ ΕΔ πρὸς τὸν ΔΖ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδ᾽ ἄρα τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς ΗΓ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΒΗ τῇ ΗΓ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΒΗ, ΗΓ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ἄρα ΒΓ ἀποτομή ἐστιν.



Λέγω δή, ὅτι καὶ πρώτη.

Ὧι γὰρ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΒΗ τοῦ ἀπὸ τῆς ΗΓ, ἔστω τὸ ἀπὸ τῆς Θ. καὶ ἐπεί ἐστιν ὡς ὁ ΕΔ πρὸς τὸν ΖΔ, οὕτως τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς ΗΓ, καὶ ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΔΕ πρὸς τὸν ΕΖ, οὕτως τὸ ἀπὸ τῆς ΗΒ πρὸς τὸ ἀπὸ τῆς Θ. ὁ δὲ ΔΕ πρὸς τὸν ΕΖ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἑκάτερος γὰρ τετράγωνός ἐστιν· καὶ τὸ ἀπὸ τῆς ΗΒ ἄρα πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· σύμμετρος ἄρα ἐστὶν ἡ ΒΗ τῇ Θ μήκει. καὶ δύναται ἡ ΒΗ τῆς ΗΓ μεῖζον τῷ ἀπὸ τῆς Θ· ἡ ΒΗ ἄρα τῆς ΗΓ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ ὅλη ἡ ΒΗ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ Α. ἡ ΒΓ ἄρα ἀποτομή ἐστι πρώτη.

Εὕρηται ἄρα ἡ πρώτη ἀποτομὴ ἡ ΒΓ· ὅπερ ἔδει εὑρεῖν.

2. Ἐὰν δὲ ἡ προσαρμόζουσα εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, καὶ τὸ τετράγωνον τῆς ὅλης ὑπερέχῃ τοῦ τετραγώνου τῆς προσαρμοζούσης κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, ἂς καλῆται ἡ ἀποτομὴ δευτέρα ἀποτομή.

3. Ἐὰν δὲ οὐδεμία εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, τὸ δὲ τετράγωνον τῆς ὅλης ὑπερέχῃ τοῦ τετραγώνου τῆς προσαρμοζούσης κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, ἂς καλῆται ἡ ἀποτομὴ τρίτη ἀποτομή.

4. Πάλιν, ἐὰν τὸ τετράγωνον τῆς ὅλης ὑπερέχῃ τοῦ τετραγώνου τῆς προσαρμοζούσης κατὰ τετράγωνον πλευρᾶς μήκει ἀσυμμέτρου πρὸς αὐτήν, ἐὰν ἡ ὅλη εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, ἂς καλῆται ἡ ἀποτομὴ τετάρτη ἀποτομή.

5. Ἐὰν δὲ ἡ προσαρμόζουσα, ἂς καλῆται ἡ ἀποτομὴ πέμπτη ἀποτομή.

6. Ἐὰν δὲ οὐδεμία, ἂς καλῆται ἡ ἀποτομὴ ἕκτη ἀποτομή.

85.

Νὰ εὑρεθῇ ἡ πρώτη ἀποτομή.

Ἂς ληφθῇ ἡ Α ῥητὴ καὶ πρὸς τὴν Α ἔστω μήκει σύμμετρος ἡ ΒΗ· ἄρα καὶ ἡ ΒΗ εἶναι ῥητή. Καὶ ἂς ληφθῶσι δύο τετράγωνοι ἀριθμοὶ οἱ ΔΕ, ΕΖ, τῶν ὁποίων ἡ διαφορὰ ὁ ΖΔ νὰ μὴ εἶναι τετράγωνος, (θ. 28, λῆμμα 1)· ἄρα οὔτε ὁ $ΕΔ : ΔΖ$ εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν. Καὶ ἂς γίνῃ $ΕΔ : ΔΖ = ΒΗ^2 : ΗΓ^2$, (θ. 6, πόρ.)· ἄρα τὸ $ΒΗ^2$ εἶναι σύμμετρον πρὸς τὸ $ΗΓ^2$, (θ. 6). Εἶναι δὲ ῥητὸν τὸ $ΒΗ^2$· ἄρα καὶ τὸ $ΗΓ^2$ εἶναι ῥητόν· ἄρα καὶ ἡ ΗΓ εἶναι ῥητή. Καὶ ἐπειδὴ ὁ λόγος $ΕΔ : ΔΖ$ δὲν εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν, οὔτε ἄρα ὁ λόγος $ΒΗ^2 : ΗΓ^2$ εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΒΗ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΗΓ. Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· αἱ ῥηταὶ ἄρα ΒΗ, ΗΓ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΒΓ εἶναι ἀποτομή, (θ. 73).

Λέγω τώρα, ὅτι εἶναι καὶ πρώτη ἀποτομή.

Διότι ἔστω ὅτι ἡ ὑπεροχὴ τοῦ $ΒΗ^2$ ἀπὸ τοῦ $ΗΓ^2$ εἶναι τὸ $Θ^2$, (θ. 13, λῆμμα). Καὶ ἐπειδὴ εἶναι $ΕΔ : ΖΔ = ΒΗ^2 : ΗΓ^2$, καὶ δι' ἀναστροφῆς ἄρα εἶναι $ΔΕ : ΕΖ = ΗΒ^2 : Θ^2$, (V. 19, πόρ.). Ὁ δὲ $ΔΕ : ΕΖ$ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· διότι ἕκαστος εἶναι τετράγωνος· ἄρα καὶ $ΗΒ^2 : Θ^2$ εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΒΗ εἶναι μήκει σύμμετρος πρὸς τὴν Θ, (θ. 9). Καὶ τὸ $ΒΗ^2$ ὑπερέχει τοῦ $ΗΓ^2$ κατὰ τὸ $Θ^2$· ἄρα ΒΗ καὶ $\sqrt{ΒΗ^2 - ΗΓ^2}$ εἶναι μήκει σύμμετροι. Καὶ εἶναι ἡ ὅλη ἡ ΒΗ μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν Α. Ἄρα ἡ ΒΓ εἶναι πρώτη ἀποτομή.

Εὑρέθη ἄρα ἡ πρώτη ἀποτομὴ ἡ ΒΓ· ὅπερ ἔδει δεῖξαι.

πς'.

Εὑρεῖν τὴν δευτέραν ἀποτομήν.

Ἐκκείσθω ῥητὴ ἡ Α καὶ τῇ Α σύμμετρος μήκει ἡ ΗΓ. ῥητὴ ἄρα ἐστὶν ἡ ΗΓ. καὶ ἐκκείσθωσαν δύο τετράγωνοι ἀριθμοὶ οἱ ΔΕ, ΕΖ, ὧν ἡ ὑπεροχὴ ὁ ΔΖ μὴ ἔστω τετράγωνος. καὶ πεποιήσθω ὡς ὁ ΖΔ πρὸς τὸν ΔΕ, οὕτως τὸ ἀπὸ τῆς ΓΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΒ τετράγωνον. σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΓΗ τετράγωνον τῷ ἀπὸ τῆς ΗΒ τετραγώνῳ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΓΗ. ῥητὸν ἄρα [ἐστὶ] καὶ τὸ ἀπὸ τῆς ΗΒ· ῥητὴ ἄρα ἐστὶν ἡ ΒΗ. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΗΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΒ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀσύμμετρός ἐστιν ἡ ΓΗ τῇ ΗΒ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΓΗ, ΗΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΒΓ ἄρα ἀποτομή ἐστιν.



Λέγω δή, ὅτι καὶ δευτέρα.

Ὧ γὰρ μεῖζον ἐστι τὸ ἀπὸ τῆς ΒΗ τοῦ ἀπὸ τῆς ΗΓ, ἔστω τὸ ἀπὸ τῆς Θ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς ΗΓ, οὕτως ὁ ΕΔ ἀριθμὸς πρὸς τὸν ΔΖ ἀριθμόν, ἀναστρέψαντι ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς Θ, οὕτως ὁ ΔΕ πρὸς τὸν ΕΖ. καί ἐστιν ἑκάτερος τῶν ΔΕ, ΕΖ τετράγωνος· τὸ ἄρα ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· σύμμετρος ἄρα ἐστὶν ἡ ΒΗ τῇ Θ μήκει. καὶ δύναται ἡ ΒΗ τῆς ΗΓ μεῖζον τῷ ἀπὸ τῆς Θ· ἡ ΒΗ ἄρα τῆς ΗΓ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ προσαρμόζουσα ἡ ΓΗ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρος τῇ Α. ἡ ΒΓ ἄρα ἀποτομή ἐστι δευτέρα.

Εὕρηται ἄρα δευτέρα ἀποτομὴ ἡ ΒΓ· ὅπερ ἔδει δεῖξαι.

πζ'.

Εὑρεῖν τὴν τρίτην ἀποτομήν.

Ἐκκείσθω ῥητὴ ἡ Α, καὶ ἐκκείσθωσαν τρεῖς ἀριθμοὶ οἱ Ε, ΒΓ, ΓΔ λόγον μὴ ἔχοντες πρὸς ἀλλήλους, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ὁ δὲ ΓΒ πρὸς τὸν ΒΔ λόγον ἐχέτω, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ πεποιήσθω ὡς μὲν ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον, ὡς δὲ ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΘ. ἐπεὶ οὖν ἐστιν ὡς ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον, σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Α τετράγωνον τῷ ἀπὸ τῆς ΖΗ τετραγώνῳ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Α τετράγωνον. ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΖΗ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΗ. καὶ ἐπεὶ ὁ Ε πρὸς τὸν ΒΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδ' ἄρα τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ

86.

Νὰ εὑρεθῇ ἡ δευτέρα ἀποτομή.

Ἂς ληφθῇ ῥητὴ ἡ Α καὶ πρὸς τὴν Α μήκει σύμμετρος ἡ ΗΓ. Ἄρα ἡ ΗΓ εἶναι ῥητή. Καὶ ἂς ληφθῶσι δύο τετράγωνοι ἀριθμοὶ οἱ ΔΕ, ΕΖ, τῶν ὁποίων ἡ διαφορὰ ὁ ΔΖ νὰ μὴ εἶναι τετράγωνος, (θ. 28, λῆμμα 1). Καὶ ἂς γίνῃ ΖΔ : ΔΕ $=$ ΓΗ^2 : ΗΒ^2, (θ. 6, πόρισ.). Ἄρα τὸ ΓΗ^2 εἶναι σύμμετρον πρὸς τὸ ΗΒ^2 (θ. 6). Εἶναι δὲ ῥητὸν τὸ ΓΗ^2. Ἄρα καὶ τὸ ΗΒ^2 εἶναι ῥητόν· ἄρα ἡ ΒΗ εἶναι ῥητή. Καὶ ἐπειδὴ τὸ ΗΓ^2 πρὸς τὸ ΗΒ^2 δὲν εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν, ἡ ΓΗ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΗΒ, (θ. 9). Καὶ εἶναι καὶ αἱ δύο ῥηταί· αἱ ῥηταὶ ἄρα ΓΗ, ΗΒ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΒΓ εἶναι ἀποτομή, (θ. 73).

Λέγω τώρα, ὅτι εἶναι καὶ δευτέρα ἀποτομή.

Διότι ἔστω ὅτι ἡ ὑπεροχὴ τοῦ ΒΗ^2 ἀπὸ τοῦ ΗΓ^2 εἶναι τὸ Θ^2, (θ. 13, λῆμμα). Ἐπειδὴ λοιπὸν εἶναι ΒΗ^2 : ΗΓ^2 $=$ ΕΔ : ΔΖ, δι' ἀναστροφῆς ἄρα εἶναι ΒΗ^2 : Θ^2 $=$ ΔΕ : ΕΖ, (V. 19, πόρ.). Καὶ εἶναι ἕκαστος τῶν ΔΕ, ΕΖ τετράγωνος· ἄρα τὸ ΒΗ^2 : Θ^2 εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΒΗ εἶναι μήκει σύμμετρος πρὸς τὴν Θ, (29). Καὶ ἡ ὑπεροχὴ τοῦ ΒΗ^2 ἀπὸ τοῦ ΗΓ^2 εἶναι τὸ Θ^2· ἄρα ἡ ΒΗ καὶ $\sqrt{\text{ΒΗ}^2-\text{ΗΓ}^2}$ εἶναι μήκει σύμμετροι. Καὶ εἶναι ἡ προσαρμόζουσα ἡ ΓΗ πρὸς τὴν δοθεῖσαν ῥητὴν τὴν Α σύμμετρος. Ἄρα ἡ ΒΓ εἶναι δευτέρα ἀποτομὴ (ὁρισ. τρίτοι 2)· ὅπερ ἔδει δεῖξαι.

87.

Νὰ εὑρεθῇ ἡ τρίτη ἀποτομή.

Ἂς ληφθῇ ῥητὴ ἡ Α, καὶ ἂς ληφθῶσι τρεῖς ἀριθμοί, οἱ Ε, ΒΓ, ΓΔ μὴ ἔχοντες λόγον πρὸς ἀλλήλους, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ὁ δὲ ΓΒ :ΒΔ ἂς εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν, καὶ ἂς γίνῃ Ε : ΒΓ $=$ Α^2 : ΖΗ^2, (θ. 28, λῆμμα 1) καὶ ΒΓ : ΓΔ $=$ ΖΗ^2 : ΗΘ^2. Ἐπειδὴ λοιπὸν εἶναι Ε : ΒΓ $=$ Α^2 : ΖΗ^2, ἄρα τὸ Α^2 εἶναι σύμμετρον πρὸς τὸ ΖΗ^2, (θ. 6). Εἶναι δὲ ῥητὸν τὸ Α^2. Ἄρα εἶναι ῥητὸν καὶ τὸ ΖΗ^2· ἄρα ἡ ΖΗ εἶναι ῥητή. Καὶ ἐπειδὴ ὁ Ε : ΒΓ δὲν εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν, οὔτε ἄρα ὁ λόγος Α^2 : ΖΗ^2 εἶναι λόγος τετραγώνου ἀριθμοῦ πρὸς τετράγωνον ἀριθμόν· ἡ Α ἄρα εἶναι μήκει ἀσύμ-

[τετράγωνον] λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Α τῇ ΖΗ μήκει. πάλιν, ἐπεί ἐστιν ὡς ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΘ, σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΖΗ τῷ ἀπὸ τῆς ΗΘ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΖΗ· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΘ· ῥητὴ ἄρα ἐστὶν ἡ ΗΘ. καὶ ἐπεὶ ὁ ΒΓ πρὸς τὸν ΓΔ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδ' ἄρα τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΘ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΖΗ, ΗΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΖΘ.



Λέγω δή, ὅτι καὶ τρίτη.

Ἐπεὶ γάρ ἐστιν ὡς μὲν ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ, ὡς δὲ ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΘΗ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Ε πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς ΘΗ. ὁ δὲ Ε πρὸς τὸν ΓΔ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδ' ἄρα τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἡ Α τῇ ΗΘ μήκει. οὐδετέρα ἄρα τῶν ΖΗ, ΗΘ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ Α μήκει. ᾧ οὖν μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΖΗ τοῦ ἀπὸ τῆς ΗΘ, ἔστω τὸ ἀπὸ τῆς Κ. ἐπεὶ οὖν ἐστιν ὡς ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΒΓ πρὸς τὸν ΒΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Κ. ὁ δὲ ΒΓ πρὸς τὸν ΒΔ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΖΗ ἄρα πρὸς τὸ ἀπὸ τῆς Κ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. σύμμετρός ἄρα ἐστὶν ἡ ΖΗ τῇ Κ μήκει, καὶ δύναται ἡ ΖΗ τῆς ΗΘ μεῖζον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ οὐδετέρα τῶν ΖΗ, ΗΘ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ Α μήκει· ἡ ΖΘ ἄρα ἀποτομή ἐστι τρίτη.

Εὕρηται ἄρα ἡ τρίτη ἀποτομὴ ἡ ΖΘ· ὅπερ ἔδει δεῖξαι.

πη'.

Εὑρεῖν τὴν τετάρτην ἀποτομήν.

Εἰ δὲ ἡ ΘΖ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καί ἐστιν ὅλη ἡ ΖΘ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΖΗ, ἀποτομὴ τετάρτη ἐστὶν ἡ ΚΘ. τὸ δ' ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τετάρτης περιεχόμενον ἡ δυναμένη ἐλάσσων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ρθ'.

Ἀπὸ μέσου ῥητοῦ ἀφαιρουμένου ἄλλαι δύο ἄλογοι γίνονται ἤτοι μέσης ἀποτομὴ πρώτη ἢ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Ἀπὸ γὰρ μέσου τοῦ ΒΓ ῥητὸν ἀφῃρήσθω τὸ ΒΔ. λέγω, ὅτι ἡ τὸ λοιπὸν τὸ

108.

Ἐὰν ἀπὸ ῥητοῦ ὀρθογωνίου ἀφαιρεθῇ μέσον ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ὑπόλοιπον χωρίον γίνεται μία ἐκ δύο ἀλόγων ἢ ἀποτομὴ ἢ ἐλάσσων.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ ῥητοῦ τοῦ ΒΓ τὸ μέσον ΒΔ· λέγω, ὅτι ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ὑπόλοιπον τὸ ΕΓ γίνεται μία ἐκ δύο ἀλόγων, ἢ ἀποτομὴ ἢ ἐλάσσων.

Διότι ἄς ληφθῇ ῥητὴ ἡ ΖΗ, καὶ πρὸς μὲν τὸ ΒΓ ἂς παραβληθῇ παρὰ τὴν ΖΗ ἴσον ὀρθογώνιον παραλληλόγραμμον τὸ ΗΘ, πρὸς δὲ τὸ ΔΒ ἂς ἀφαιρεθῇ ἴσον τὸ ΗΚ· ἄρα τὸ ὑπόλοιπον τὸ ΕΓ = ΛΘ. Ἐπειδὴ λοιπὸν τὸ μὲν ΒΓ εἶναι ῥητόν, τὸ δὲ ΒΔ μέσον, ἴσον δὲ τὸ μὲν ΒΓ πρὸς τὸ ΗΘ, τὸ δὲ ΒΔ πρὸς τὸ ΗΚ, ἄρα τὸ μὲν ΗΘ εἶναι ῥητόν, τὸ δὲ ΗΚ μέσον. Καὶ παράκειται παρὰ ῥητὴν τὴν ΖΗ· ἄρα ἡ μὲν ΖΘ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΖΗ, (θ. 20), ἡ δὲ ΖΚ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΖΗ, (θ. 22)· ἄρα ἡ ΖΘ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΖΚ, (θ. 13). Αἱ ῥηταὶ ἄρα ΖΘ, ΖΚ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΚΘ εἶναι ἀποτομή, (θ. 73) προσαρμόζουσα δὲ εἰς αὐτὴν ἡ ΚΖ. Τὸ τετράγωνον τῆς ΘΖ θὰ ὑπερέχῃ τοῦ τετραγώνου τῆς ΖΚ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου ἢ ἀσυμμέτρου, (θὰ εἶναι δηλ. ΘΖ, $\sqrt{ΘΖ^2 - ΖΚ^2}$ μήκει σύμμετροι ἢ ἀσύμμετροι).

Ἂς ὑπερέχῃ πρότερον κατὰ τετράγωνον πλευρᾶς συμμέτρου. Καὶ εἶναι ὅλη ἡ ΘΖ μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΖΗ· ἄρα ἡ ΚΘ εἶναι πρώτη ἀποτομὴ (ὁρισ. τρίτοι 1). Ἡ εὐθεῖα δὲ τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς ὀρθογώνιον περιεχόμενον ὑπὸ ῥητῆς καὶ πρώτης ἀποτομῆς εἶναι ἀποτομή, (θ. 91). Ἡ εὐθεῖα ἄρα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΛΘ, τουτέστι τὸ ΕΓ, εἶναι ἀποτομή.

Ἐὰν δὲ τὸ τετράγωνον τῆς ΘΖ ὑπερέχῃ τοῦ τετραγώνου τῆς ΖΚ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν καὶ εἶναι ὅλη ἡ ΖΘ μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΖΗ, ἡ ΚΘ εἶναι τετάρτη ἀποτομὴ (ὁρισ. τρίτοι 4). Ἡ εὐθεῖα δὲ τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ῥητῆς καὶ τετάρτης ἀποτομῆς εἶναι ἐλάσσων (θ. 94)· ὅπερ ἔδει δεῖξαι.

109.

Ἐὰν ἀπὸ μέσου ἀφαιρεθῇ ῥητὸν γίνονται ἄλλαι δύο ἄλογοι ἢ πρώτη ἀποτομὴ μέσης ἢ σχηματίζουσα μετὰ ῥητοῦ μέσον τὸ ὅλον.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ μέσου τοῦ ΒΓ ῥητὸν τὸ ΒΔ. Λέγω, ὅτι ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ὑπόλοιπον τὸ ΕΓ γίνεται μία

ΕΓ δυναμένη μία δύο ἀλόγων γίνεται ἤτοι μέσης ἀποτομὴ πρώτη ἢ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ ΖΗ, καὶ παραβεβλήσθω ὁμοίως τὰ χωρία. ἔστι δὴ ἀκολούθως ῥητὴ μὲν ἡ ΖΘ καὶ ἀσύμμετρος τῇ ΖΗ μήκει, ῥητὴ δὲ ἡ ΚΖ καὶ σύμμετρος τῇ ΖΗ μήκει· αἱ ΖΘ, ΖΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΚΘ, προσαρμόζουσα δὲ ταύτῃ ἡ ΖΚ. ἤτοι δὴ ἡ ΘΖ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ ἢ τῷ ἀπὸ ἀσυμμέτρου.



Εἰ μὲν οὖν ἡ ΘΖ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καί ἐστιν ἡ προσαρμόζουσα ἡ ΖΚ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΖΗ, ἀποτομὴ δευτέρα ἐστὶν ἡ ΚΘ. ῥητὴ δὲ ἡ ΖΗ· ὥστε ἡ τὸ ΛΘ, τουτέστι τὸ ΕΓ, δυναμενη μέσης ἀποτομὴ πρώτη ἐστίν.

Εἰ δὲ ἡ ΘΖ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου, καί ἐστιν ἡ προσαρμόζουσα ἡ ΖΚ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΖΗ, ἀποτομὴ πέμπτη ἐστὶν ἡ ΚΘ· ὥστε ἡ τὸ ΕΓ δυναμένη μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

ρι'.

Ἀπὸ μέσου μέσου ἀφαιρουμένου ἀσυμμέτρου τῷ ὅλῳ αἱ λοιπαὶ δύο ἄλογοι γίνονται ἤτοι μέσης ἀποτομὴ δευτέρα ἢ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Ἀφῃρήσθω γὰρ ὡς ἐπὶ τῶν προκειμένων καταγραφῶν ἀπὸ μέσου τοῦ ΒΓ μέσον τὸ ΒΔ ἀσύμμετρον τῷ ὅλῳ· λέγω, ὅτι ἡ τὸ ΕΓ δυναμένη μία ἐστὶ δύο ἀλόγων ἤτοι μέσης ἀποτομὴ δευτέρα ἢ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Ἐπεὶ γὰρ μέσον ἐστὶν ἑκάτερον τῶν ΒΓ, ΒΔ, καὶ ἀσύμμετρον τὸ ΒΓ τῷ ΒΔ, ἔσται ἀκολούθως ῥητὴ ἑκατέρα τῶν ΖΘ, ΖΚ καὶ ἀσύμμετρος τῇ ΖΗ μήκει. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ ΒΓ τῷ ΒΔ, τουτέστι τὸ ΗΘ τῷ ΗΚ, ἀσύμμετρος καὶ ἡ ΘΖ τῇ ΖΚ· αἱ ΖΘ, ΖΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΚΘ [προσαρμόζουσα δὲ ἡ ΖΚ. ἤτοι δὴ ἡ ΖΘ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἢ τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ].



Εἰ μὲν δὴ ἡ ΖΘ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ οὐδετέρα τῶν ΖΘ, ΖΚ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΖΗ, ἀποτομὴ ἐκ δύο ἀλόγων ἢ πρώτη ἀποτομὴ μέσης ἢ σχηματίζουσα μετὰ ῥητοῦ μέσον τὸ ὅλον.

Διότι ἂς ληφθῇ ῥητὴ ἡ ΖΗ, καὶ ἂς παραβληθῶσι τὰ ὀρθογώνια ὡς κατὰ τὸ προηγούμενον (108) θεώρημα. Συνεπῶς ἡ μὲν ΖΘ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΖΗ, ἡ δὲ ΚΖ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΖΗ· ἄρα αἱ ΖΘ, ΖΚ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι, (θ. 13)· ἄρα ἡ ΚΘ εἶναι ἀποτομή, (θ. 73), προσαρμόζουσα δὲ εἰς ταύτην ἡ ΖΚ. Τὸ τετράγωνον τῆς ΘΖ θὰ ὑπερέχῃ τοῦ τετραγώνου τῆς ΖΚ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου ἢ ἀσυμμέτρου πρὸς αὐτήν, (ΘΖ, $\sqrt{\Theta Z^2 - ZK^2}$ μήκει σύμμετροι ἢ ἀσύμμετροι).

Ἐὰν μὲν λοιπὸν τὸ ΘZ^2 ὑπερέχῃ τοῦ ZK^2 κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, καὶ εἶναι ἡ προσαρμόζουσα ἡ ΖΚ μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΖΗ, ἡ ΚΘ εἶναι δευτέρα ἀποτομὴ (ὁρισ. τρίτοι 2). Εἶναι δὲ ῥητὴ ἡ ΖΗ· ὥστε ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΛΘ, τουτέστι τὸ ΕΓ εἶναι πρώτη ἀποτομὴ μέσης, (θ. 92).

Ἐὰν δὲ τὸ ΘZ^2 ὑπερέχῃ τοῦ ZK^2 κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου, καὶ εἶναι ἡ προσαρμόζουσα ἡ ΖΚ μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΖΗ, ἡ ΚΘ εἶναι πέμπτη ἀποτομὴ (ὁρισ. τρίτοι 5)· ὥστε ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΕΓ εἶναι σχηματίζουσα μετὰ ῥητοῦ μέσον τὸ ὅλον, (θ. 95)· ὅπερ ἔδει δεῖξαι.

110.

Ἀπὸ μέσου ἀφαιρουμένου μέσου ἀσυμμέτρου πρὸς τὸ ὅλον γίνονται αἱ ὑπόλοιποι δύο ἄλογοι εὐθεῖαι ἢ δευτέρα ἀποτομὴ μέσης ἢ σχηματίζουσα μετὰ μέσου μέσον τὸ ὅλον.

Διότι ἂς ἀφαιρεθῇ ὡς εἰς τὴν κατασκευὴν τοῦ προηγουμένου θεωρήματος, ἀπὸ μέσου τοῦ ΒΓ τὸ μέσον ΒΔ ἀσύμμετρον πρὸς τὸ ὅλον. λέγω, ὅτι ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΓΕ εἶναι μία ἐκ δύο ἀλόγων ἢ δευτέρα ἀποτομὴ μέσης ἢ σχηματίζουσα μετὰ μέσου μέσον τὸ ὅλον.

Διότι, ἐπειδὴ ἕκαστον τῶν ΒΓ, ΒΔ εἶναι μέσον, καὶ τὸ ΒΓ εἶναι ἀσύμμετρον πρὸς τὸ ΒΔ, θὰ εἶναι συνεπῶς ἑκάστη τῶν ΖΘ, ΖΚ ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΖΗ, (θ. 22). Καὶ ἐπειδὴ τὸ ΒΓ εἶναι ἀσύμμετρον πρὸς τὸ τρίτη ἐστὶν ἡ ΚΘ. ῥητὴ δὲ ἡ ΚΛ, τὸ δ' ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τρίτης περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστιν, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν, καλεῖται δὲ μέσης ἀποτομὴ δευτέρα· ὥστε ἡ τὸ ΛΘ, τουτέστι τὸ ΕΓ, δυναμένη μέσης ἀποτομή ἐστι δευτέρα.

Εἰ δὲ ἡ ΖΘ τῆς ΖΚ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ [μήκει], καὶ οὐδετέρα τῶν ΘΖ, ΖΚ σύμμετρός ἐστι τῇ ΖΗ μήκει, ἀποτομὴ ἕκτη ἐστὶν ἡ ΚΘ. τὸ δ' ὑπὸ ῥητῆς καὶ ἀποτομῆς ἕκτης ἡ δυναμένη ἐστὶ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα. ἡ τὸ ΛΘ ἄρα, τουτέστι τὸ ΕΓ, δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

ρια'.

Ἡ ἀποτομὴ οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐκ δύο ὀνομάτων.

Ἔστω ἀποτομὴ ἡ ΑΒ· λέγω, ὅτι ἡ ΑΒ οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐκ δύο ὀνομάτων.

Εἰ γὰρ δυνατον, ἔστω· καὶ ἐκκείσθω ῥητὴ ἡ ΔΓ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω ὀρθογώνιον τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΔΕ. ἐπεὶ οὖν ἀποτομή ἐστιν ἡ ΑΒ, ἀποτομὴ πρώτη ἐστὶν ἡ ΔΕ. ἔστω αὐτῇ προσαρμόζουσα ἡ ΕΖ· αἱ ΔΖ, ΖΕ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΔΖ τῆς ΖΕ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΔΖ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΔΓ. πάλιν, ἐπεὶ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ, ἐκ δύο ἄρα ὀνομάτων πρώτη ἐστὶ ἡ ΔΕ. διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Η, καὶ ἔστω μεῖζον ὄνομα τὸ ΔΗ· αἱ ΔΗ, ΗΕ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΔΗ τῆς ΗΕ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ τὸ μεῖζον ἡ ΔΗ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει τῇ ΔΓ. καὶ ἡ ΔΖ ἄρα τῇ ΔΗ σύμμετρός ἐστι μήκει· καὶ λοιπὴ ἄρα ἡ ΗΖ σύμμετρός ἐστι τῇ ΔΖ μήκει. [ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ ΔΖ τῇ ΗΖ, ῥητὴ δέ ἐστιν ἡ



ΒΔ, τουτέστι τὸ ΗΘ πρὸς τὸ ΗΚ, εἶναι καὶ ἡ ΘΖ ἀσύμμετρος πρὸς τὴν ΖΚ (VI. 1 καὶ θ. 11)· ἄρα αἱ ΖΘ, ΖΚ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΚΘ εἶναι ἀποτομή, (θ. 73) [προσαρμόζουσα δὲ ἡ ΖΚ. Τὸ τετράγωνον τῆς ΖΘ θὰ ὑπερέχῃ τοῦ τετραγώνου τῆς ΖΚ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου ἢ ἀσυμμέτρου πρὸς αὐτὴν (δηλ. θὰ εἶναι ΖΘ, $\sqrt{ΖΘ^2 - ΖΚ^2}$ μήκει σύμμετροι ἢ ἀσύμμετροι)].

Ἐὰν μὲν λοιπὸν τὸ $ΖΘ^2$ ὑπερέχῃ τοῦ $ΖΚ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, καὶ οὐδεμία τῶν ΖΘ, ΖΚ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΖΗ, ἡ ΚΘ εἶναι τρίτη ἀποτομὴ (ὁρισ. τρίτοι 3). Εἶναι δὲ ῥητὴ ἡ ΚΛ, τὸ δὲ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ῥητῆς καὶ τρίτης ἀποτομῆς εἶναι ἄλογον, καὶ ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς αὐτὸ εἶναι ἄλογος, καλεῖται δὲ δευτέρα ἀποτομὴ μέσης, (θ. 93)· ὥστε ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΛΘ, τουτέστι τὸ ΕΓ εἶναι δευτέρα ἀποτομὴ μέσης.

Ἐὰν δὲ τὸ $ΖΘ^2$ ὑπερέχῃ τοῦ $ΖΚ^2$ κατὰ τετράγωνον πλευρᾶς μήκει ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΖΘ) καὶ οὐδεμία τῶν ΘΖ, ΖΚ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΖΗ, ἡ ΚΘ εἶναι ἕκτη ἀποτομὴ (ὁρισ. τρίτοι 6). Ἡ εὐθεῖα δὲ τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς ὀρθογώνιον πλευρῶν, ῥητῆς καὶ ἕκτης ἀποτομῆς, εἶναι σχηματίζουσα μετὰ μέσου μέσον τὸ ὅλον, (θ. 96). Ἡ εὐθεῖα ἄρα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ ΛΘ, τουτέστι τὸ ΕΓ εἶναι σχηματίζουσα μετὰ μέσου μέσον τὸ ὅλον· ὅπερ ἔδει δεῖξαι.

111.

Ἡ ἀποτομὴ δὲν εἶναι ἡ αὐτὴ πρὸς τὴν δυώνυμον.

Ἔστω ἀποτομὴ ἡ ΑΒ· λέγω, ὅτι ἡ ΑΒ δὲν εἶναι ἡ αὐτὴ πρὸς τὴν δυώνυμον.

Διότι ἐὰν εἶναι δυνατὸν ἔστω ὅτι εἶναι· καὶ ἂς ληφθῇ ῥητὴ ἡ ΔΓ, καὶ πρὸς τὸ $ΑΒ^2$ ἰσοδύναμον ὀρθογώνιον τὸ ΓΕ ἂς παραβληθῇ παρὰ τὴν ΓΔ σχηματίζον πλάτος τὴν ΔΕ. Ἐπειδὴ λοιπὸν ἡ ΑΒ εἶναι ἀποτομή, ἡ ΔΕ εἶναι πρώτη ἀποτομή, (θ. 97). Ἔστω προσαρμόζουσα εἰς αὐτὴν ἡ ΕΖ· ἄρα αἱ ΔΖ, ΖΕ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι καὶ τὸ $ΔΖ^2$ ὑπερέχει τοῦ $ΖΕ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, (ΔΖ, $\sqrt{ΔΖ^2 - ΖΕ^2}$ σύμμετροι), καὶ ἡ ΔΖ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΔΓ (ὁρισ. τρίτοι 1). Πάλιν, ἐπειδὴ ἡ ΑΒ εἶναι δυώνυμος, ἄρα ἡ ΔΕ εἶναι πρώτη δυώνυμος, (θ. 60). Ἂς διαιρεθῇ αὕτη εἰς τὰ μονώνυμα κατὰ τὸ Η, καὶ ἔστω μεγαλύτερον μονώνυμον τὸ ΔΗ· ἄρα αἱ ΔΗ, ΗΕ, εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι καὶ τὸ $ΔΗ^2$ ὑπερέχει τοῦ $ΗΕ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΔΗ), καὶ τὸ μεγαλύτερον μονώνυμον τὸ ΔΗ εἶναι εὐθεῖα μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν τὴν ΔΓ (ὁρισ. δευτ. 1). Καὶ ἡ ΔΖ ἄρα εἶναι πρὸς τὴν ΔΗ μήκει σύμμετρος, (θ. 12)· καὶ τὸ ὑπόλοιπον ἄρα ἡ ΗΖ εἶναι πρὸς τὴν ΔΖ μήκει σύμμετρος, (θ. 15). [Ἐπειδὴ λοιπὸν ἡ ΔΖ εἶναι σύμμετρος

$ΔZ$, ῥητὴ ἄρα ἐστὶ καὶ ἡ HZ. ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ $ΔZ$ τῇ HZ μή-[κει] ἀσύμμετρος δὲ ἡ $ΔZ$ τῇ EZ μήκει· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ZH τῇ EZ μήκει. αἱ HZ, ZE ἄρα ῥηταί [εἰσι] δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστίν ἡ EH. ἀλλὰ καὶ ῥητή· ὅπερ ἐστὶν ἀδύνατον.

Ἡ ἄρα ἀποτομὴ οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐκ δύο ὀνομάτων· ὅπερ ἔδει δεῖξαι.

[Πόρισμα].

Ἡ ἀποτομὴ καὶ αἱ μετ' αὐτὴν ἄλογοι οὔτε τῇ μέσῃ οὔτε ἀλλήλαις εἰσὶν αἱ αὐταί.

Τὸ μὲν γὰρ ἀπὸ μέσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ῥητὴν καὶ ἀσύμμετρον τῇ, παρ' ἣν παράκειται, μήκει, τὸ δὲ ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην, τὸ δὲ ἀπὸ μέσης ἀποτομῆς πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν, τὸ δὲ ἀπὸ μέσης ἀποτομῆς δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τρίτην, τὸ δὲ ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τετάρτην, τὸ δὲ ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πέμπτην, τὸ δὲ ἀπὸ τῆς μετὰ μέσου μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν ἕκτην. ἐπεὶ οὖν τὰ εἰρημένα πλάτη διαφέρει τοῦ τε πρώτου καὶ ἀλλήλων, τοῦ μὲν πρώτου, ὅτι ῥητή ἐστιν, ἀλλήλων δέ, ἐπεὶ τῇ τάξει οὐκ εἰσὶν αἱ αὐταί, δῆλον, ὡς καὶ αὐταὶ αἱ ἄλογοι διαφέρουσιν ἀλλήλων. καὶ ἐπεὶ δέδεικται ἡ ἀποτομὴ οὐκ οὖσα ἡ αὐτὴ τῇ ἐκ δύο ὀνομάτων, ποιοῦσι δὲ πλάτη παρὰ ῥητὴν παραβαλλόμεναι αἱ μετὰ τὴν ἀποτομὴν ἀποτομὰς ἀκολούθως ἑκάστη τῇ τάξει τῇ καθ' αὑτήν, αἱ δὲ μετὰ τὴν ἐκ δύο ὀνομάτων τὰς ἐκ δύο ὀνομάτων καὶ αὐταὶ τῇ τάξει ἀκολούθως, ἕτεραι ἄρα εἰσὶν αἱ μετὰ τὴν ἀποτομὴν καὶ ἕτεραι αἱ μετὰ τὴν ἐκ δύο ὀνομάτων, ὡς εἶναι τῇ τάξει πάσας ἀλόγους ιγ,

Μέσην,
Ἐκ δύο ὀνομάτων,
Ἐκ δύο μέσων πρώτην,
Ἐκ δύο μέσων δευτέραν,
Μείζονα,
Ῥητὸν καὶ μέσον δυναμένην,
Δύο μέσα δυναμένην,
Ἀποτομήν,

πρὸς τὴν ΗΖ, (θ. 15), εἶναι δὲ ῥητὴ ἡ ΔΖ, ἄρα καὶ ἡ ΗΖ εἶναι ῥητή. Ἐπειδὴ λοιπὸν ἡ ΔΖ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΗΖ], εἶναι δὲ μήκει ἀσύμμετρος ἡ ΔΖ πρὸς τὴν ΕΖ· ἄρα καὶ ἡ ΖΗ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θ. 13). Ἄρα αἱ ΗΖ, ΖΕ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΕΗ εἶναι ἀποτομή, (θ. 73). Ἀλλὰ εἶναι καὶ ῥητή· ὅπερ ἀδύνατον.

Ἡ ἀποτομὴ ἄρα δὲν εἶναι ἡ αὐτὴ πρὸς τὴν δυώνυμον· ὅπερ ἔδει δεῖξαι.

[Π ό ρ ι σ μ α].

Ἡ ἀποτομὴ καὶ αἱ μετ' αὐτὴν ἄλογοι οὔτε πρὸς τὴν μέσην οὔτε πρὸς ἀλλήλας εἶναι αἱ αὐταί.

Διότι τὸ μὲν τετράγωνον μέσης παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος ῥητὴν καὶ μήκει ἀσύμμετρον πρὸς τὴν ῥητὴν εὐθεῖαν παρὰ τὴν ὁποίαν παράκειται, (θ. 22), τὸ δὲ τετράγωνον ἀποτομῆς παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος πρώτην ἀποτομήν, (θ. 97), τὸ δὲ τετράγωνον πρώτης ἀποτομῆς μέσης παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος δευτέραν ἀποτομήν, (θ. 98), τὸ δὲ τετράγωνον δευτέρας ἀποτομῆς μέσης παρὰ ῥητὴν παραβαλλόμενον σχηματίζει πλάτος τρίτην ἀποτομήν, (θ. 99), τὸ δὲ τετράγωνον ἐλάσσονος παρὰ ῥητὴν πραβαλλόμενον σχηματίζει πλάτος τετάρτην ἀποτομὴν (θ. 100), τὸ δὲ τετράγωνον τῆς σχηματιζούσης μετὰ ῥητοῦ μέσον τὸ ὅλον σχηματίζει πλάτος πέμπτην ἀποτομήν, (θ. 101), τὸ δὲ τετράγωνον τῆς σχηματιζούσης μετὰ μέσου μέσον τὸ ὅλον παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος ἕκτην ἀποτομήν, (θ. 102). Ἐπειδὴ λοιπὸν τὰ εἰρημένα πλάτη διαφέρουσι καὶ τοῦ πρώτου καὶ μεταξύ των, τοῦ μὲν πρώτου, ὅτι εἶναι ῥητή, μεταξύ των δέ, ἐπειδὴ κατὰ τὴν τάξιν δὲν εἶναι αἱ αὐταί, εἶναι φανερόν, ὅτι καὶ αὐταὶ αἱ ἄλογοι διαφέρουσι μεταξύ των. Καὶ ἐπειδὴ ἀπεδείχθη ὅτι ἡ ἀποτομὴ δὲν εἶναι ἡ αὐτὴ πρὸς τὴν δυώνυμον, (θ. 111), σχηματίζουσι δὲ παραβαλλόμεναι παρὰ ῥητὴν πλάτη αἱ μετὰ τὴν ἀποτομὴν καὶ ἐν συνεχείᾳ, ἀποτομὰς κατὰ τὴν τάξιν της ἑκάστη, αἱ δὲ μετὰ τὴν δυώνυμον καὶ αὐταὶ ἐν συνεχείᾳ τὰς δυωνύμους κατὰ τὴν τάξιν της ἑκάστη, ἄρα ἄλλαι εἶναι αἱ μετὰ τὴν ἀποτομὴν καὶ ἄλλαι αἱ μετὰ τὴν διώνυμον, ὥστε νὰ εἶναι ὅλαι αἱ ἄλογοι κατὰ τὴν τάξιν δεκατρεῖς, ἤτοι :

Μέση,
Δυώνυμος,
Ἐκ δύο μέσων πρώτη,
Ἐκ δύο μέσων δευτέρα,
Μείζων,
Ῥητὸν καὶ μέσον δυναμένη,
Δύο μέσα δυναμένη,
Ἀποτομή,

Μέσης ἀποτομὴν πρώτην,
Μέσης ἀποτομὴν δευτέραν,
Ἐλάσσονα,
Μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσαν,
Μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσαν.

[ριβ'.

Τὸ ἀπὸ ῥητῆς παρὰ τὴν ἐκ δύο ὀνομάτων παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομήν, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασι καὶ ἔτι ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ γινομένη ἀποτομὴ τὴν αὐτὴν ἕξει τάξιν τῇ ἐκ δύο ὀνομάτων.

Ἔστω ῥητὴ μὲν ἡ Α, ἐκ δύο ὀνομάτων δὲ ἡ ΒΓ, ἧς μεῖζον ὄνομα ἔστω ἡ ΔΓ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω τὸ ὑπὸ τῶν ΒΓ, ΕΖ· λέγω, ὅτι ἡ ΕΖ ἀποτομή ἐστιν, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς ΓΔ, ΔΒ, καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ ΕΖ τὴν αὐτὴν ἕξει τάξιν τῇ ΒΓ.

Ἔστω γὰρ πάλιν τῷ ἀπὸ τῆς Α ἴσον τὸ ὑπὸ τῶν ΒΔ, Η. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, ΕΖ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΔ, Η, ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΔ, οὕτως ἡ Η πρὸς τὴν ΕΖ. μείζων δὲ ἡ ΓΒ τῆς ΒΔ· μείζων ἄρα ἐστὶ καὶ ἡ Η τῆς ΕΖ. ἔστω τῇ Η ἴση ἡ ΕΘ· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΔ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΕΖ· διελόντι ἄρα ἐστὶν ὡς ἡ ΓΔ πρὸς τὴν ΒΔ, οὕτως ἡ ΘΖ πρὸς τὴν ΖΕ. γεγονέτω ὡς ἡ ΘΖ πρὸς τὴν ΖΕ, οὕτως ἡ ΖΚ πρὸς τὴν ΚΕ· καὶ ὅλη ἄρα ἡ ΘΚ πρὸς ὅλην τὴν ΚΖ ἐστιν, ὡς ἡ ΖΚ πρὸς ΚΕ. ὡς γὰρ ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα. ὡς δὲ ἡ ΖΚ πρὸς ΚΕ, οὕτως ἐστὶν ἡ ΓΔ πρὸς τὴν ΔΒ· καὶ ὡς ἄρα ἡ ΘΚ πρὸς ΚΖ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΒ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΓΔ τῷ ἀπὸ τῆς ΔΒ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΘΚ τῷ ἀπὸ τῆς ΚΖ. καί ἐστιν ὡς τὸ ἀπὸ τῆς ΘΚ πρὸς τὸ ἀπὸ τῆς ΚΖ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΕ, ἐπεὶ αἱ τρεῖς αἱ ΘΚ, ΚΖ, ΚΕ ἀνάλογόν εἰσιν. σύμμετρος ἄρα ἡ ΘΚ τῇ ΚΕ μήκει· ὥστε καὶ ἡ ΘΕ τῇ ΕΚ σύμμετρός ἐστι μήκει. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς Α ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΕΘ, ΒΔ, ῥητὸν δὲ ἐστι τὸ ἀπὸ τῆς Α, ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΕΘ, ΒΔ. καὶ παρὰ ῥητὴν τὴν ΒΔ παράκειται. ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῇ ΒΔ μήκει· ὥστε καὶ ἡ σύμμετρος αὐτῇ ἡ ΕΚ ῥητή ἐστι καὶ σύμμετρος τῇ ΒΔ μήκει. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΓΔ πρὸς ΔΒ, οὕτως ἡ ΖΚ πρὸς ΚΕ, αἱ δὲ ΓΔ, ΔΒ δυνάμει μόνον εἰσὶ σύμμετροι, καὶ αἱ ΖΚ, ΚΕ δυνάμει μόνον εἰσὶ σύμμετροι. ῥητὴ δὲ ἐστιν ἡ ΚΕ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΚ. αἱ ΖΚ, ΚΕ ἄρα ῥηταὶ δυνάμει μόνον εἰσὶ σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΖ.



Πρώτη ἀποτομὴ μέσης,
Δευτέρα ἀποτομὴ μέσης,
Ἐλάσσων,
Μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα,
Μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

§ 112.

Τὸ τετράγωνον ῥητῆς παραβαλλόμενον παρὰ τὴν δυώνυμον σχηματίζει πλάτος ἀποτομήν, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου καὶ συνάμα εἰς τὸν αὐτὸν λόγον πρὸς αὐτά, καὶ ἀκόμη ἡ γινομένη ἀποτομὴ θὰ ἔχῃ τὴν αὐτὴν τάξιν πρὸς τὴν δυώνυμον.

Ἔστω ῥητὴ μὲν ἡ Α, δυώνυμος δὲ ἡ ΒΓ, τῆς ὁποίας τὸ μεγαλύτερον μονώνυμον ἔστω ἡ ΔΓ, καὶ $Α^2 = ΒΓ \times ΕΖ$· λέγω, ὅτι ἡ ΕΖ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰς ΓΔ, ΔΒ, καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ὅτι ἡ ΕΖ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ.

Διότι ἔστω πάλιν $Α^2 = ΒΔ \times Η$. Ἐπειδὴ λοιπὸν $ΒΓ \times ΕΖ = ΒΔ \times Η$, εἶναι ἄρα $ΓΒ : ΒΔ = Η : ΕΖ$, (VI. 16). Εἶναι δὲ μεγαλυτέρα ἡ ΓΒ τῆς ΒΔ· ἄρα καὶ ἡ Η εἶναι μεγαλυτέρα τῆς ΕΖ, (VI. 16 καὶ 14)· ἔστω $Η = ΕΘ$· εἶναι ἄρα $ΓΒ : ΒΔ = ΘΕ : ΕΖ$· καὶ διὰ διαιρέσεως τοῦ λόγου, (V. ὁρ. 15) εἶναι $ΓΔ : ΒΔ = ΘΖ : ΖΕ$, (V. 17). Ἂς γίνῃ ὡς ἡ $ΘΖ : ΖΕ = ΖΚ : ΚΕ$· καὶ ὅλη ἄρα ἡ $ΘΚ : ΚΖ = ΖΚ : ΚΕ$· διότι ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων (V. 12). Ὡς δὲ ἡ $ΖΚ : ΚΕ = ΓΔ : ΔΒ$· καὶ ὡς ἄρα ἡ $ΘΚ : ΚΖ = ΓΔ : ΔΒ$. Εἶναι δὲ σύμμετρον τὸ $ΓΔ^2$ πρὸς τὸ $ΔΒ^2$, (θ. 36)· ἄρα καὶ τὸ $ΘΚ^2$ εἶναι σύμμετρον πρὸς τὸ $ΚΖ^2$, (VI. 20, πόρ. καὶ θ. 11). Καὶ εἶναι ὡς τὸ $ΘΚ^2 : ΚΖ^2 =$ ἡ $ΘΚ : ΚΕ$, ἐπειδὴ αἱ τρεῖς εὐθεῖαι ΘΚ, ΚΖ, ΚΕ εἶναι ἀνάλογοι (V. ὁρισ. 9). Ἄρα ἡ ΘΚ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΚΕ, (θ. 11)· ὥστε καὶ ἡ ΘΕ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΕΚ, (θ. 15). Καὶ ἐπειδὴ $Α^2 = ΕΘ \times ΒΔ$, εἶναι δὲ ῥητὸν τὸ $Α^2$, ἄρα εἶναι ῥητὸν καὶ τὸ $ΕΘ \times ΒΔ$. Καὶ παράκειται παρὰ ῥητὴν τὴν ΒΔ· ἄρα ἡ ΕΘ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΔ, (θ. 20)· ὥστε καὶ ἡ σύμμετρος πρὸς αὐτὴν ἡ ΕΚ εἶναι ῥητή, (ὁρ. 3) καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΔ, (θ. 12). Ἐπειδὴ λοιπὸν εἶναι $ΓΔ : ΔΒ = ΖΚ : ΚΕ$, αἱ δὲ ΓΔ, ΔΒ εἶναι δυνάμει μόνον σύμμετροι, καὶ αἱ ΖΚ, ΚΕ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 11). Εἶναι δὲ ῥητὴ ἡ ΚΕ· ἄρα καὶ ἡ ΖΚ εἶναι ῥητή. Αἱ ῥηταὶ ἄρα ΖΚ, ΚΕ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΕΖ εἶναι ἀποτομή, (θ. 73).

Ἤτοι δὲ ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ ἢ τῷ ἀπὸ ἀσυμμέτρου.

Εἰ μὲν οὖν ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου [ἑαυτῇ], καὶ ἡ ΖΚ τῆς ΚΕ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΓΔ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ, καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ.

Εἰ δὲ ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΖΚ τῆς ΚΕ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν ἡ ΓΔ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ, καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ· ὥστε ἀποτομή ἐστιν ἡ ΖΕ, ἧς τὰ ὀνόματα τὰ ΖΚ, ΚΕ σύμμετρά ἐστι τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασι τοῖς ΓΔ, ΔΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ τὴν αὐτὴν τάξιν ἔχει τῇ ΒΓ· ὅπερ ἔδει δεῖξαι.

ριγ'.

Τὸ ἀπὸ ῥητῆς παρὰ ἀποτομὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἔτι δὲ ἡ γινομένη ἐκ δύο ὀνομάτων τὴν αὐτὴν τάξιν ἔχει τῇ ἀποτομῇ.

Ἔστω ῥητὴ μὲν ἡ Α, ἀποτομὴ δὲ ἡ ΒΔ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω τὸ ὑπὸ τῶν ΒΔ, ΚΘ, ὥστε τὸ ἀπὸ τῆς Α ῥητῆς παρὰ τὴν ΒΔ ἀποτομὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ΚΘ· λέγω, ὅτι ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΚΘ, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ΒΔ ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ ΚΘ τὴν αὐτὴν ἔχει τάξιν τῇ ΒΔ.



Ἔστω γὰρ τῇ ΒΔ προσαρμόζουσα ἡ ΔΓ· αἱ ΒΓ, ΓΔ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω καὶ τὸ ὑπὸ τῶν ΒΓ, Η. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Α· ῥητὸν ἄρα καὶ τὸ ὑπὸ τῶν ΒΓ, Η. καὶ παρὰ ῥητὴν τὴν ΒΓ παραβέβληται· ῥητὴ ἄρα ἐστὶν ἡ Η καὶ σύμμετρος τῇ ΒΓ μήκει. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, Η ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΔ, ΚΘ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓΒ πρὸς ΒΔ, οὕτως ἡ ΚΘ πρὸς Η. μείζων δὲ ἡ ΒΓ τῆς ΒΔ· μείζων ἄρα καὶ ἡ ΚΘ τῆς Η. κείσθω τῇ Η ἴση ἡ ΚΕ· σύμμετρος ἄρα ἐστὶν ἡ ΚΕ τῇ ΒΓ μήκει. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΒ πρὸς ΒΔ, οὕτως ἡ ΘΚ πρὸς ΚΕ, ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΚΘ πρὸς ΘΕ. γεγονέτω ὡς ἡ ΚΘ πρὸς ΘΕ, οὕτως ἡ ΘΖ πρὸς ΖΕ· καὶ λοιπὴ ἄρα ἡ ΚΖ πρὸς ΖΘ ἐστιν, ὡς ἡ ΚΘ πρὸς ΘΕ, Τὸ δὲ $ΓΔ^2$ ὑπερέχει τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου ἢ ἀσυμμέτρου πρὸς αὐτήν, ($ΓΔ$, $\sqrt{ΓΔ^2 - ΔΒ^2}$ σύμμ. ἢ ἀσύμμ.).

Ἐὰν μὲν λοιπὸν τὸ $ΓΔ^2$ ὑπερέχει τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, καὶ τὸ $ΖΚ^2$ θὰ ὑπερέχῃ τοῦ $ΚΕ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΖΚ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΚ, (θ. 11 καὶ 12)· ἐὰν δὲ ἡ ΒΔ, θὰ εἶναι καὶ ἡ ΚΕ, (θ. 12)· ἐὰν δὲ οὐδεμία τῶν ΓΔ, ΔΒ, καὶ οὐδεμία τῶν ΖΚ, ΚΕ.

Ἐὰν δὲ τὸ $ΓΔ^2$ ὑπερέχῃ τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΓΔ), καὶ τὸ $ΖΚ^2$ θὰ ὑπερέχῃ τοῦ $ΚΕ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΖΚ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΚ· ἐὰν δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· ἐὰν δὲ οὐδεμία τῶν ΓΔ, ΔΒ, καὶ οὐδεμία τῶν ΖΚ, ΚΕ· ὥστε ἡ ΖΕ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα τὰ ΖΚ, ΚΕ εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου τὰ ΓΔ, ΔΒ καὶ εἰς τὸν αὐτὸν λόγον πρὸς αὐτά, καὶ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ· ὅπερ ἔδει δεῖξαι.

113.

Τὸ τετράγωνον ῥητῆς παραβαλλόμενον παρὰ ἀποτομὴν σχηματίζει πλάτος τὴν δυώνυμον, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς καὶ συνάμα εἰς τὸν αὐτὸν λόγον, ἀκόμη δὲ ἡ γινομένη δυώνυμος ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ἀποτομήν.

Ἔστω ῥητὴ μὲν ἡ Α, ἀποτομὴ δὲ ἡ ΒΔ καὶ πρὸς τὸ $Α^2$ ἔστω ἰσοδύναμον τὸ $ΒΔ \times ΚΘ$, ὥστε τὸ τετράγωνον τῆς ῥητῆς Α παραβαλλόμενον παρὰ τὴν ἀποτομὴν ΒΔ νὰ σχηματίζῃ πλάτος τὴν ΚΘ· λέγω ὅτι ἡ ΚΘ εἶναι δυώνυμος, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ΒΔ καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ὅτι ἡ ΚΘ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΔ.

Διότι ἔστω πρὸς τὴν ΒΔ προσαρμόζουσα ἡ ΔΓ· ἄρα αἱ ΒΓ, ΓΔ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι, (θ.73). Καὶ πρὸς τὸ $Α^2$ ἔστω ἴσον τὸ $ΒΓ \times Η$. Εἶναι δὲ ῥητὸν τὸ $Α^2$· ἄρα καὶ τὸ $ΒΓ \times Η$ εἶναι ῥητόν. Καὶ ἔχει παραβληθῆ παρὰ τὴν ῥητὴν ΒΓ· ἄρα ἡ Η εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ, (θ. 20). Ἐπειδὴ λοιπὸν τὸ $ΒΓ \times Η$ εἶναι ἴσον πρὸς τὸ $ΒΔ \times ΚΘ$, ἄρα εἶναι $ΓΒ : ΒΔ = ΚΘ : Η$, (VI. 16). Καὶ εἶναι ἡ ΒΓ μεγαλυτέρα τῆς ΒΔ· ἄρα καὶ ἡ ΚΘ εἶναι μεγαλυτέρα τῆς Η, (V.16 καὶ 14). Ἂς ληφθῆ $ΚΕ = Η$· ἄρα ἡ ΚΕ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΓ. Καὶ ἐπειδὴ εἶναι $ΓΒ : ΒΔ = ΘΚ : ΚΕ$, δι' ἀναστροφῆς ἄρα εἶναι $ΒΓ : ΓΔ = ΚΘ : ΘΕ$, (V.19,πόρ.). Ἂς γίνῃ ὡς ἡ $ΚΘ : ΘΕ = ΘΖ : ΖΕ$· ἄρα καὶ ἡ ὑπόλοιπος ἡ $ΚΖ : ΖΘ = ΚΘ : ΘΕ = ΒΓ : ΓΔ$, (V.19).

τουτέστιν [ὡς] ἡ ΒΓ πρὸς ΓΔ. αἱ δὲ ΒΓ, ΓΔ δυνάμει μόνον [εἰσὶ] σύμμετροι· καὶ αἱ ΚΖ, ΖΘ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. καὶ ἐπεί ἐστιν ὡς ἡ ΚΘ πρὸς ΘΕ, ἡ ΚΖ πρὸς ΖΘ, ἀλλ᾽ ὡς ἡ ΚΘ πρὸς ΘΕ, ἡ ΘΖ πρὸς ΖΕ, καὶ ὡς ἄρα ἡ ΚΖ πρὸς ΖΘ, ἡ ΘΖ πρὸς ΖΕ· ὥστε καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· καὶ ὡς ἄρα ἡ ΚΖ πρὸς ΖΕ, οὕτως τὸ ἀπὸ τῆς ΚΖ πρὸς τὸ ἀπὸ τῆς ΖΘ. σύμμετρον δέ ἐστι τὸ ἀπὸ τῆς ΚΖ τῷ ἀπὸ τῆς ΖΘ· αἱ γὰρ ΚΖ, ΖΘ δυνάμει εἰσὶ σύμμετροι· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΚΖ τῇ ΖΕ μήκει· ὥστε ἡ ΚΖ καὶ τῇ ΚΕ σύμμετρός [ἐστι] μήκει. ῥητὴ δέ ἐστιν ἡ ΚΕ καὶ σύμμετρος τῇ ΒΓ μήκει· ῥητὴ ἄρα καὶ ἡ ΚΖ καὶ σύμμετρος τῇ ΒΓ μήκει. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς ΓΔ, οὕτως ἡ ΚΖ πρὸς ΖΘ, ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς ΚΖ, οὕτως ἡ ΔΓ πρὸς ΖΘ. σύμμετρος δὲ ἡ ΒΓ τῇ ΚΖ· σύμμετρος ἄρα καὶ ἡ ΖΘ τῇ ΓΔ μήκει. αἱ ΒΓ, ΓΔ δὲ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· καὶ αἱ ΚΖ, ΖΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ὀνομάτων ἐστὶν ἄρα ἡ ΚΘ.

Εἰ μὲν οὖν ἡ ΒΓ τῆς ΓΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΚΖ τῆς ΖΘ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΒΓ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΚΖ, εἰ δὲ ἡ ΓΔ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΘ, εἰ δὲ οὐδετέρα τῶν ΒΓ, ΓΔ, οὐδετέρα τῶν ΚΖ, ΖΘ.

Εἰ δὲ ἡ ΒΓ τῆς ΓΔ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΚΖ τῆς ΖΘ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΒΓ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΚΖ, εἰ δὲ ἡ ΓΔ, καὶ ἡ ΖΘ, εἰ δὲ οὐδετέρα τῶν ΒΓ, ΓΔ, οὐδετέρα τῶν ΚΖ, ΖΘ.

Ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΚΘ, ἧς τὰ ὀνόματα τὰ ΚΖ, ΖΘ σύμμετρά [ἐστι] τοῖς τῆς ἀποτομῆς ὀνόμασι τοῖς ΒΓ, ΓΔ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ ΚΘ τῇ ΒΓ τὴν αὐτὴν ἕξει τάξιν· ὅπερ ἔδει δεῖξαι.

ριδ΄.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ τῆς ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά τέ ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ τὸ χωρίον δυναμένη ῥητή ἐστιν.

Περιεχέσθω γὰρ χωρίον τὸ ὑπὸ τῶν ΑΒ, ΓΔ ὑπὸ ἀποτομῆς τῆς ΑΒ καὶ τῆς ἐκ δύο ὀνομάτων τῆς ΓΔ, ἧς μεῖζον ὄνομα ἔστω τὸ ΓΕ, καὶ ἔστω τὰ ὀνόματα τῆς ἐκ δύο ὀνομάτων τὰ ΓΕ, ΕΔ σύμμετρά τε τοῖς τῆς ἀποτομῆς ὀνόμασι

Αἱ δὲ ΒΓ, ΓΔ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα καὶ αἱ ΚΖ, ΖΘ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 11). Καὶ ἐπειδὴ εἶναι ΚΘ : ΘΕ = ΚΖ : ΖΘ, ἀλλὰ ΚΘ : ΘΕ = ΘΖ : ΖΕ, καὶ ὡς ἄρα ΚΖ : ΖΘ = ΘΖ : ΖΕ· ὥστε καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ τετράγωνον τῆς πρώτης πρὸς τὸ τετράγωνον τῆς δευτέρας, (V.ὁρισ. 9)· καὶ ὡς ἄρα ΚΖ : ΖΕ = ΚΖ^2 : ΖΘ^2. Εἶναι δὲ τὸ ΚΖ^2 σύμμετρον πρὸς τὸ ΖΘ^2· διότι αἱ ΚΖ, ΖΘ εἶναι δυνάμει σύμμετροι· ἄρα καὶ ἡ ΚΖ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΖΕ, (θ. 11)· ὥστε ἡ ΚΖ εἶναι μήκει σύμμετρος καὶ πρὸς τὴν ΚΕ, (θ. 15). Εἶναι δὲ ῥητὴ ἡ ΚΕ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ· ἄρα καὶ ἡ ΚΖ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ, (θ. 12). Καὶ ἐπειδὴ εἶναι ὡς ΒΓ : ΓΔ = ΚΖ : ΖΘ, καὶ ἐναλλὰξ εἶναι ΒΓ : ΚΖ = ΔΓ : ΖΘ, (V.16). Εἶναι δὲ σύμμετρος ἡ ΒΓ πρὸς τὴν ΚΖ· ἄρα καὶ ἡ ΖΘ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΓΔ, (θ. 11). Αἱ δὲ ΒΓ, ΓΔ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι· ἄρα καὶ αἱ ΚΖ, ΖΘ εἶναι ῥηταί, (ὁρ.3) δυνάμει μόνον σύμμετροι, (θ. 13)· ἄρα ἡ ΚΘ εἶναι δυώνυμος, (θ. 36).

Ἐὰν μὲν λοιπὸν τὸ ΒΓ^2 ὑπερέχῃ τοῦ ΓΔ^2 κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΒΓ), καὶ τὸ ΚΖ^2 θὰ ὑπερέχῃ τοῦ ΖΘ^2 κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΚΖ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΒΓ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΚΖ, (θ.12), ἐὰν δὲ ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΘ, ἐὰν δὲ οὐδεμία τῶν ΒΓ, ΓΔ, καὶ οὐδεμία τῶν ΚΖ, ΖΘ, (θ. 13).

Ἐὰν δὲ τὸ ΒΓ^2 ὑπερέχῃ τοῦ ΓΔ^2 κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΒΓ) καὶ τὸ ΚΖ^2 θὰ ὑπερέχῃ τοῦ ΖΘ^2 κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΚΖ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΒΓ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν θὰ εἶναι καὶ ἡ ΚΖ, ἐὰν δὲ ἡ ΓΔ, θὰ εἶναι καὶ ἡ ΖΘ, (θ. 12), ἐὰν δὲ οὐδεμία τῶν ΒΓ, ΓΔ καὶ οὐδεμία τῶν ΚΖ, ΖΘ.

Ἄρα ἡ ΚΘ εἶναι δυώνυμος, τῆς ὁποίας τὰ μονώνυμα τὰ ΚΖ, ΖΘ εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς τὰ ΒΓ, ΓΔ καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ἡ ΚΘ θὰ ἔχῃ τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ· ὅπερ ἔδει δεῖξαι.

114.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ δυωνύμου, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα καὶ εἰς τὸν αὐτὸν λόγον πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς, ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ χωρίον εἶναι ῥητή.

Διότι ἂς περιέχηται τὸ χωρίον ΑΒ × ΓΔ ὑπὸ ἀποτομῆς τῆς ΑΒ καὶ τῆς δυωνύμου τῆς ΓΔ, τῆς ὁποίας μεγαλύτερον μονώνυμον ἔστω τὸ ΓΕ, καὶ ἔστω τὰ μονώνυμα τῆς δυωνύμου ΓΔ τὰ ΓΕ, ΕΔ σύμμετρα καὶ εἰς τὸν αὐτὸν λότοῖς ΑΖ, ΖΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔστω ἡ τὸ ὑπὸ τῶν ΑΒ, ΓΔ δυναμένη ἡ Η· λέγω, ὅτι ῥητή ἐστιν ἡ Η.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ Θ, καὶ τῷ ἀπὸ τῆς Θ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω πλάτος ποιοῦν τὴν ΚΛ· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΚΛ, ἧς τὰ ὀνόματα ἔστω τὰ ΚΜ, ΜΛ σύμμετρα τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασι τοῖς ΓΕ, ΕΔ καὶ ἐν τῷ αὐτῷ λόγῳ. ἀλλὰ καὶ αἱ ΓΕ, ΕΔ σύμμετροί τέ εἰσι ταῖς ΑΖ, ΖΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ· ἔστιν ἄρα ὡς ἡ ΑΖ πρὸς τὴν ΖΒ, οὕτως ἡ ΚΜ πρὸς ΜΛ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΖ πρὸς τὴν ΚΜ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΛΜ. καὶ λοιπὴ ἄρα ἡ ΑΒ πρὸς λοιπὴν τὴν ΚΛ ἐστιν ὡς ἡ ΑΖ πρὸς ΚΜ. σύμμετρος δὲ ἡ ΑΖ τῇ ΚΜ· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΑΒ τῇ ΚΛ. καί ἐστιν ὡς ἡ ΑΒ πρὸς ΚΛ, οὕτως τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΓΔ, ΚΛ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ τῷ ὑπὸ τῶν ΓΔ, ΚΛ. ἴσον δὲ τὸ ὑπὸ τῶν ΓΔ, ΚΛ τῷ ἀπὸ τῆς Θ· σύμμετρον ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ τῷ ἀπὸ τῆς Θ. τῷ δὲ ὑπὸ τῶν ΓΔ, ΑΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Η· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Η τῷ ἀπὸ τῆς Θ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Θ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς Η· ῥητὴ ἄρα ἐστὶν ἡ Η. καὶ δύναται τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ.



Ἐὰν ἄρα χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ τῆς ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ τὸ χωρίον δυναμένη ῥητή ἐστιν.

Πόρισμα.

Καὶ γέγονεν ἡμῖν καὶ διὰ τούτου φανερόν, ὅτι δυνατόν ἐστι ῥητὸν χωρίον ὑπὸ ἀλόγων εὐθειῶν περιέχεσθαι. ὅπερ ἔδει δεῖξαι.

ριε'.

Ἀ π ὸ μ έ σ η ς ἄ π ε ι ρ ο ι ἄ λ ο γ ο ι γ ί ν ο ν τ α ι, κ α ὶ ο ὐ δ ε μ ί α ο ὐ δ ε μ ι ᾷ τ ῶ ν π ρ ό τ ε ρ ο ν ἡ α ὐ τ ή.

Ἔστω μέση ἡ Α· λέγω, ὅτι ἀπὸ τῆς Α ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή.

Ἐκκείσθω ῥητὴ ἡ Β, καὶ τῷ ὑπὸ τῶν Β, Α ἴσον ἔστω τὸ ἀπὸ τῆς Γ· ἄλογος ἄρα ἐστὶν ἡ Γ· τὸ γὰρ ὑπὸ ἀλόγου καὶ ῥητῆς ἄλογόν ἐστιν. καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ μέσην. πάλιν δὴ τῷ ὑπὸ τῶν Β, Γ ἴσον ἔστω τὸ ἀπὸ τῆς Δ. ἄλογον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Δ. ἄλογος ἄρα ἐστὶν ἡ Δ· καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή. τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν Γ. ὁμοίως δὴ τῆς τοιαύτης τάξεως ἐπ' ἄπειρον προβαινούσης φανερόν, ὅτι ἀπὸ τῆς μέσης ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· ὅπερ ἔδει δεῖξαι].



γον πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς τὰ ΑΖ, ΖΒ, καὶ ἔστω $Η^2 = ΑΒ \times ΓΔ$· λέγω ὅτι ἡ Η εἶναι ῥητή.

Διότι ἂς ληφθῇ ῥητὴ ἡ Θ, καὶ πρὸς τὸ $Θ^2$ ἴσον ὀρθογώνιον ἂς παραβληθῇ παρὰ τὴν ΓΔ σχηματίζον πλάτος τὴν ΚΛ· ἄρα ἡ ΚΛ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα ἔστω τὰ ΚΜ, ΜΛ σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου τὰ ΓΕ, ΕΔ καὶ εἰς τὸν αὐτὸν λόγον, (θ.112). Ἀλλὰ καὶ αἱ ΓΕ, ΕΔ εἶναι σύμμετροι πρὸς τὰς ΑΖ, ΖΒ καὶ εἰς τὸν αὐτὸν λόγον· εἶναι ἄρα $ΑΖ : ΖΒ = ΚΜ : ΜΛ$. Ἐναλλὰξ ἄρα εἶναι $ΑΖ : ΚΜ = ΒΖ : ΛΜ$, (V.16)· καὶ ἡ ὑπόλοιπος ἄρα ἡ ΑΒ πρὸς τὴν ὑπόλοιπον τὴν ΚΛ εἶναι ὡς $ΑΖ : ΚΜ$ (V.19). Εἶναι δὲ σύμμετρος ἡ ΑΖ πρὸς τὴν ΚΜ, (θ.12)· ἄρα καὶ ἡ ΑΒ εἶναι σύμμετρος πρὸς τὴν ΚΛ, (θ.11). Καὶ εἶναι $ΑΒ : ΚΛ = ΓΔ \times ΑΒ : ΓΔ \times ΚΛ$· (VI.1)· ἄρα καὶ τὸ $ΓΔ \times ΑΒ$ εἶναι σύμμετρον πρὸς τὸ $ΓΔ \times ΚΛ$, (θ.9). Εἶναι δὲ $ΓΔ \times ΚΛ = Θ^2$· ἄρα τὸ $ΓΔ \times ΑΒ$ εἶναι σύμμετρον πρὸς τὸ $Θ^2$. Πρὸς δὲ τὸ $ΓΔ \times ΑΒ$ εἶναι ἴσον τὸ $Η^2$· ἄρα τὸ $Η^2$ εἶναι σύμμετρον πρὸς τὸ $Θ^2$. Εἶναι δὲ ῥητὸν τὸ $Θ^2$· ἄρα εἶναι ῥητὸν καὶ τὸ $Η^2$· ἄρα ἡ Η εἶναι ῥητή. Καὶ $Η^2 = ΓΔ \times ΑΒ$.

Ἐὰν ἄρα χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ δυωνύμου, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς καὶ εἰς τὸν αὐτὸν λόγον, ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ χωρίον εἶναι ῥητή.

Πόρισμα.

Καὶ γίνεται καὶ διὰ τοῦ θεωρήματος τούτου φανερόν, ὅτι εἶναι δυνατὸν ῥητὸν χωρίον νὰ περιέχηται ὑπὸ ἀλόγων εὐθειῶν· ὅπερ ἔδει δεῖξαι.

115.

Ἀπὸ μέσης γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή.

Ἔστω μέση ἡ Α· λέγω, ὅτι ἀπὸ τῆς Α γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή.

Ἂς ληφθῇ ῥητὴ ἡ Β καὶ ἔστω $Β \times Α = Γ^2$· ἄρα ἡ Γ εἶναι ἄλογος (ὁρ. 4)· διότι τὸ ὀρθογώνιον πλευρῶν ἀλόγου καὶ ῥητῆς εἶναι ἄλογον, (θ.20). Καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων (ἀλόγων) εἶναι ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων σχηματίζει πλάτος μέσην παραβαλλόμενον παρὰ ῥητήν. Πάλιν λοιπὸν ἔστω $Β \times Γ = Δ^2$· ἄρα τὸ $Δ^2$ εἶναι ἄλογον (θ.20). Ἄρα ἡ Δ εἶναι ἄλογος, (ὁρ. 4)· καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν Γ. Καθ' ὅμοιον τρόπον ἐὰν συνεχισθῇ ἐπ' ἄπειρον ὁ τοιοῦτος συλλογισμός, εἶναι φανερόν, ὅτι ἀπὸ τῆς μέσης γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων ἀλόγων εἶναι ἡ αὐτή· ὅπερ ἔδει δεῖξαι].

ΠΑΡΑΡΤΗΜΑ

Anhang

ΠΑΡΑΡΤΗΜΑ.

1.

Ἄλλως τὸ α′ θεώρημα.

Ἐκκείσθω δύο μεγέθη ἄνισα τὰ AB, $Γ$· καὶ ἐπεὶ ἔλασσόν ἐστι τὸ $Γ$, πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ AB μεγέθους μεῖζον. γεγονέτω ὡς τὸ ZM καὶ διῃρήσθω εἰς [τὰ] ἴσα τῷ $Γ$, καὶ ἔστω τὰ $MΘ$, $ΘH$, HZ, καὶ ἀπὸ τοῦ AB ἀφῃρήσθω μεῖζον ἢ τὸ ἥμισυ τὸ BE, καὶ ἀπὸ τοῦ EA μεῖζον ἢ τὸ ἥμισυ τὸ $EΔ$, καὶ τοῦτο ἀεὶ γινέσθω, ἕως αἱ ἐν τῷ ZM διαιρέσεις ἴσαι γένωνται ταῖς ἐν τῷ AB διαιρέσεσιν. γεγονέτωσαν ὡς αἱ BE, $EΔ$, $ΔA$, καὶ τῷ $ΔA$ ἕκαστον τῶν $KΛ$, $ΛN$, $NΞ$ ἔστω ἴσον, καὶ τοῦτο γινέσθω, ἕως αἱ διαιρέσεις τοῦ $KΞ$ ἴσαι γένωνται ταῖς τοῦ ZM.



Καὶ ἐπεὶ τὸ BE μεῖζον ἢ τὸ ἥμισυ ἐστι τοῦ BA, τὸ BE μεῖζόν ἐστι τοῦ EA· πολλῷ ἄρα μεῖζόν ἐστι τοῦ $ΔA$. ἀλλὰ τὸ $ΔA$ ἴσον ἐστὶ τῷ $ΞN$· τὸ BE ἄρα μεῖζόν ἐστι τοῦ $NΞ$. πάλιν, ἐπεὶ τὸ $EΔ$ μεῖζον ἢ τὸ ἥμισύ ἐστι τοῦ EA, μεῖζόν ἐστι τοῦ $ΔA$. ἀλλὰ τὸ $ΔA$ ἐστιν ἴσον τῷ $NΛ$· τὸ $EΔ$ ἄρα μεῖζόν ἐστι τοῦ $NΛ$. ὅλον ἄρα τὸ $ΔB$ μεῖζόν ἐστι τοῦ $ΞΛ$. ἴσον δὲ τὸ $ΛA$ τῷ $ΛK$. ὅλον ἄρα τὸ BA μεῖζόν ἐστι τοῦ $ΞK$. ἀλλὰ τοῦ BA μεῖζόν ἐστι τὸ MZ· πολλῷ ἄρα τὸ MZ μεῖζόν ἐστι τοῦ $ΞK$. καὶ ἐπεὶ τὰ $ΞN$, $NΛ$, $ΛK$ ἴσα ἀλλήλοις ἐστίν, ἔστι δὲ καὶ τὰ $MΘ$, $ΘH$, HZ ἴσα ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ἐν τῷ MZ τῷ πλήθει τῶν ἐν τῷ $ΞK$, ἔστιν ἄρα ὡς τὸ $KΛ$ πρὸς τὸ ZH, οὕτως τὸ $KΞ$ πρὸς τὸ ZM. μεῖζον δὲ τὸ ZM τοῦ $KΞ$· μεῖζον ἄρα καὶ τὸ HZ τοῦ $ΛK$. καί ἐστι τὸ μὲν ZH ἴσον τῷ $Γ$, τὸ δὲ $KΛ$ τῷ $AΔ$· τὸ $Γ$ ἄρα μεῖζόν ἐστι τοῦ $AΔ$· ὅπερ ἔδει δεῖξαι.

2.

Ἄλλως τὸ ϛ′.

Δύο γὰρ μεγέθη τὰ A, B πρὸς ἄλληλα λόγον ἐχέτω, ὃν ἀριθμὸς ὁ $Γ$ πρὸς ἀριθμὸν τὸν $Δ$· λέγω, ὅτι σύμμετρά ἐστι τὰ μεγέθη.



Ὅσαι γάρ εἰσιν ἐν τῷ $Γ$ μονάδες, εἰς τοσαῦτα ἴσα διῃρήσθω τὸ A, καὶ ἑνὶ αὐτῶν ἴσον ἔστω τὸ E· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν $Γ$ ἀριθμόν, τὸ E πρὸς τὸ A. ἔστι δὲ καὶ ὡς ὁ $Γ$ πρὸς τὸν $Δ$, τὸ A πρὸς τὸ B· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ μονὰς πρὸς τὸν $Δ$, τὸ E πρὸς τὸ B. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν $Δ$· μετρεῖ ἄρα καὶ τὸ E τὸ B. μετρεῖ δὲ καὶ τὸ E τὸ A,

ΠΑΡΑΡΤΗΜΑ.

1.

Ἄλλως τὸ 1.

Ἂς ληφθῶσι δύο μεγέθη ἄνισα τὰ ΑΒ, Γ· καὶ ἐπειδὴ τὸ Γ εἶναι μικρότερον, λαμβανόμενον πολλὰς φορὰς θὰ γίνῃ κἄποτε μεγαλύτερον τοῦ μεγέθους ΑΒ, (V. ὁρισ. 4). Ἂς γίνῃ ὡς τὸ ΖΜ καὶ ἂς διαιρεθῇ εἰς τὰ ἴσα πρὸς τὸ Γ καὶ ἔστω ταῦτα τὰ ΜΘ, ΘΗ, ΗΖ, καὶ ἀπὸ τοῦ ΑΒ ἂς ἀφαιρεθῇ περισσότερον τοῦ ἡμίσεος τὸ ΒΕ, καὶ ἀπὸ τοῦ ὑπολοίπου τοῦ ΕΑ ἂς ἀφαιρεθῇ περισσότερον τοῦ ἡμίσεος τὸ ΕΔ καὶ ἂς γίνηται τοῦτο διαρκῶς μέχρις ὅτου αἱ εἰς τὸ ΖΜ διαιρέσεις γίνωσιν ἴσαι πρὸς τὰς διαιρέσεις εἰς τὸ ΑΒ. Ἔστω ὅτι ἔγιναν αἱ ΒΕ, ΕΔ, ΔΑ καὶ ἔστω $ΔΑ = ΚΛ = ΛΝ = ΝΞ$, καὶ τοῦτο ἂς γίνῃ μέχρις ὅτου τὸ πλῆθος τῶν διαιρέσεων τοῦ ΚΞ γίνῃ ἴσον πρὸς τὸ πλῆθος τῶν διαιρέσεων τοῦ ΖΜ.

Καὶ ἐπειδὴ τὸ ΒΕ εἶναι μεγαλύτερον τοῦ ἡμίσεος τοῦ ΒΑ, τὸ $ΒΕ > ΕΑ$· ἄρα εἶναι πολὺ μεγαλύτερον τοῦ ΔΑ. Ἀλλὰ τὸ $ΔΑ = ΞΝ$· ἄρα $ΒΕ > ΝΞ$. Πάλιν, ἐπειδὴ $ΕΔ > {}^1/_2 ΕΑ$, εἶναι μεγαλύτερον τοῦ ΔΑ. Ἀλλὰ $ΔΑ = ΝΛ$· ἄρα $ΕΔ > ΝΛ$. Ὅλον ἄρα τὸ $ΔΒ > ΞΛ$. εἶναι δὲ $ΔΑ = ΛΚ$. Ὅλον ἄρα τὸ $ΒΑ > ΞΚ$. Ἀλλὰ $ΜΖ > ΒΑ$· ἄρα τὸ ΜΖ εἶναι πολὺ μεγαλύτερον τοῦ ΞΚ. Καὶ ἐπειδὴ $ΞΝ = ΝΛ = ΛΚ$, εἶναι δὲ καὶ $ΜΘ = ΘΗ = ΗΖ$, καὶ τὸ πλῆθος τῶν μερῶν τοῦ ΜΖ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν μερῶν τοῦ ΞΚ, εἶναι ἄρα $ΚΛ : ΖΗ = ΚΞ : ΖΜ$, (V. 15). Εἶναι δὲ $ΖΜ > ΚΞ$· ἄρα $ΗΖ > ΛΜ$, (V. 14). Καὶ εἶναι τὸ μὲν $ΖΗ = Γ$, τὸ δὲ $ΚΛ = ΑΔ$· ἄρα $Γ > ΑΔ$· ὅπερ ἔδει δεῖξαι.

2.

Ἄλλως τὸ 6.

Διότι ἂς ἔχωσι λόγον μεταξὺ των δύο μεγέθη τὰ Α,Β ὃν λόγον ἔχει ὁ ἀριθμὸς Γ πρὸς τὸν ἀριθμὸν Δ· λέγω, ὅτι τὰ μεγέθη εἶναι σύμμετρα.

Διότι ὅσας μονάδας ἔχει ὁ Γ εἰς τόσα ἴσα μέρη ἂς διαιρεθῇ τὸ μέγεθος Α καὶ πρὸς ἓν ἐξ αὐτῶν ἔστω ἴσον τὸ Ε· εἶναι ἄρα $1 : Γ = Ε : Α$, (V.15). Εἶναι δὲ καὶ $Γ : Δ = Α : Β$· δι' ἴσου ἄρα εἶναι $1 : Δ = Ε : Β$, (V.22). Μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Δ· ἄρα καὶ τὸ Ε μετρεῖ τὸ Β. Μετρεῖ δὲ καὶ τὸ Ε τὸ Α, ἐπεὶ καὶ ἡ μονὰς τὸν Γ· τὸ Ε ἄρα ἑκάτερον τῶν Α, Β μετρεῖ· τὰ Α, Β ἄρα σύμμετρά ἐστιν, καί ἐστιν αὐτῶν κοινὸν μέτρον τὸ Ε· ὅπερ ἔδει δεῖξαι.

3.

Ἄλλως τὸ θ'.

Ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ Α τῇ Β, λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ἐχέτω, ὃν ὁ Γ πρὸς τὸν Δ, καὶ ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸς τὴν Β, [οὕτως] ὁ Ε πρὸς τὸν Ζ. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ. πάλιν, ἐπεὶ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκεν, ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β· ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ἦν ὁ Ε πρὸς τὸν Ζ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ε πρὸς τὸν Η. ἔστι δὲ ἑκάτερος τῶν Ε, Η τετράγωνος· ὁ μὲν γὰρ Ε ἀπὸ τοῦ Γ ἐστιν, ὁ δὲ Η ἀπὸ τοῦ Δ· τὸ ἀπὸ τῆς Α ἄρα πρὸς τὸ ἀπὸ τῆς Β λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ὅπερ ἔδει δεῖξαι.



Ἀλλὰ δὴ ἐχέτω τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β λόγον, ὃν τετράγωνος ἀριθμὸς ὁ Ε πρὸς τετράγωνον ἀριθμὸν τὸν Η· λέγω, ὅτι σύμμετρός ἐστιν ἡ Α τῇ Β.

Ἔστω γὰρ τοῦ μὲν Ε πλευρὰ ὁ Γ, τοῦ δὲ Η ὁ Δ, καὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω· οἱ Ε, Ζ, Η ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν Α, Β, μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν Α, Β, τῶν δέ Ε, Η ὁ Ζ, ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ. ὡς δὲ τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ζ πρὸς τὸν Η, ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ἡ Α πρὸς τὴν Β. αἱ Α, Β ἄρα σύμμετροί εἰσιν· λόγον γὰρ ἔχουσιν, ὃν ἀριθμὸς ὁ Ε πρὸς ἀριθμὸν τὸν Ζ, τουτέστιν ὃν ὁ Γ πρὸς τὸν Δ· ὡς γὰρ ὁ Γ πρὸς τὸν Δ, ὁ Ε πρὸς τὸν Ζ· ὁ γάρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, ὁ Ε πρὸς τὸν Ζ.

ἐπειδὴ καὶ ἡ μονὰς μετρεῖ τὸν Γ· τὸ Ε ἄρα μετρεῖ ἕκαστον τῶν Α, Β· ἄρα τὰ Α, Β εἶναι σύμμετρα καὶ τὸ Ε εἶναι κοινὸν μέτρον αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

3.

Ἄλλως τὸ 9.

Διότι, ἐπειδὴ ἡ Α εἶναι σύμμετρος πρὸς τὴν Β, ἔχει λόγον, ὃν ἀριθμὸς πρὸς ἀριθμόν, (θ. 6). Ἂς ἔχῃ ὃν λόγον ἔχει ὁ Γ πρὸς τὸν Δ, καὶ ἔστω $\Gamma\times\Gamma=E$, $\Gamma\times\Delta=Z$, $\Delta\times\Delta=H$. Ἐπειδὴ λοιπὸν $\Gamma^2=E$, $\Gamma\times\Delta=Z$, εἶναι ἄρα $\Gamma:\Delta$, τουτέστιν $A:B=E:Z$, (VII. 17). Ἀλλ' ὡς $A:B=A^2:A\times B$· εἶναι ἄρα $A^2:A\times B=E:Z$. Πάλιν, ἐπειδὴ $\Delta^2=H$ καὶ $\Gamma\times\Delta=Z$, εἶναι ἄρα $\Gamma:\Delta$, τουτέστιν $A:B=Z:H$. Ἀλλ' ὡς $A:B=A\times B:B^2$· εἶναι ἄρα $A\times B:B^2=Z:H$. Ἀλλὰ $A^2:A\times B=E:Z$· δι' ἴσου ἄρα εἶναι $A^2:B^2=E:H$, (V. 22). Εἶναι δὲ ἕκαστος τῶν Ε, Η τετράγωνος· διότι ὁ μὲν $E=\Gamma^2$, ὁ δὲ $H=\Delta^2$· ἄρα $A^2:B^2$ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὅπερ ἔδει δεῖξαι.

Ἀλλ' ἂς ἔχῃ τώρα τὸ A^2 πρὸς B^2 λόγον ὃν ἔχει τετράγωνος ἀριθμὸς ὁ Ε πρὸς τετράγωνον ἀριθμὸν τὸν Η· λέγω, ὅτι ἡ Α εἶναι σύμμετρος πρὸς τὴν Β.

Διότι ἔστω τοῦ μὲν Ε πλευρὰ ὁ Γ, τοῦ δὲ Η ὁ Δ, καὶ ἔστω $\Gamma\times\Delta=Z$· ἄρα οἱ Ε, Ζ, Η εὑρίσκονται ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον $\Gamma:\Delta$ (VIII. 11). Καὶ ἐπειδὴ τῶν A^2, B^2 εἶναι μέσον ἀνάλογον τὸ $A\times B$, τῶν δὲ Ε, Η ὁ Ζ, εἶναι ἄρα $A^2:A\times B=E:Z$. Ὡς δὲ $A\times B:B^2=Z:H$, ἀλλὰ $A^2:A\times B=A:B$. Αἱ Α, Β, ἄρα εἶναι σύμμετροι· διότι ἔχουσι λόγον ὃν ἀριθμὸς ὁ Ε πρὸς ἀριθμὸν τὸν Ζ, (θ. 6), τουτέστιν ὁ Γ πρὸς τὸν Δ· διότι $\Gamma:\Delta=E:Z$· διότι $\Gamma^2=E$ καὶ $\Gamma\times\Delta=Z$, (VII. 17)· εἶναι ἄρα ὡς ὁ $\Gamma:\Delta=E:Z$.

4.

Εἰς τὸ 10.

Τῇ ἄρα προτεθείσῃ εὐθείᾳ τῇ ῥητῇ, ἀφ᾽ ἧς ἔφαμεν τὰ μέτρα λαμβάνεσθαι, οἷον τῇ Α, προσεύρηται δυνάμει μὲν σύμμετρος ἡ Δ, τουτέστι ῥητὴ δυνάμει μόνον σύμμετρος, ἄλογος δὲ ἡ Ε. ἀλόγους γὰρ καθόλου καλεῖ τὰς καὶ μήκει καὶ δυνάμει ἀσυμμέτρους τῇ ῥητῇ.

5.

Εἰς τὸ 13.

Εἰς τὸ ιγ´ λῆμμα ἐκ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

Ἐὰν ᾖ δύο μεγέθη, καὶ τὸ μὲν σύμμετρον ᾖ τῷ αὐτῷ, τὸ δὲ ἕτερον ἀσύμμετρον, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Ἔστω γὰρ δύο μεγέθη τὰ Α, Β, ἄλλο δὲ τὸ Γ, καὶ τὸ μὲν Α τῷ Γ σύμμετρον ἔστω, τὸ δὲ Β τῷ Γ ἀσύμμετρον. λέγω, ὅτι καὶ τὸ Α τῷ Β ἀσύμμετρόν ἐστιν.



Εἰ γάρ ἐστι σύμμετρον τὸ Α τῷ Β, ἔστι δὲ καὶ τὸ Γ τῷ Α, καὶ τὸ Γ ἄρα τῷ Β σύμμετρόν ἐστιν· ὅπερ οὐχ ὑπόκειται.

6.

Εἰς τὸ 18.

Ῥητὰς γὰρ καλεῖ τὰς τῇ ἐκκειμένῃ ῥητῇ ἤτοι μήκει καὶ δυνάμει συμμέτρους ἢ καὶ δυνάμει μόνον. εἰσὶ δὲ καὶ ἄλλαι εὐθεῖαι, αἳ μήκει μὲν ἀσύμμετροι εἰσι τῇ ἐκκειμένῃ ῥητῇ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ διὰ τοῦτο πάλιν λέγονται ῥηταὶ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ᾽ ὃ ῥηταί, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἤτοι μήκει δηλαδὴ καὶ δυνάμει ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὗται ῥηταὶ μήκει σύμμετροι ἐπακουομένου, ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον πρὸς ἀλλήλας εἰσὶ σύμμετροι, λέγονται καὶ αὗται οὕτως ῥηταὶ δυνάμει μόνον σύμμετροι. ὅτι δὲ αἱ ῥηταὶ σύμμετροί εἰσιν, ἐντεῦθεν δῆλον· ἐπεὶ γὰρ ῥηταί εἰσιν αἱ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετροι, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα, αἱ ἄρα ῥηταὶ σύμμετροί εἰσιν.

4.

Εἰς τὸ 10.

Ἄρα πρὸς τὴν προτεθεῖσαν ῥητὴν εὐθεῖαν, ἀφ' ἧς εἴπομεν ὅτι λαμβάνονται τὰ μέτρα, ὡς π.χ. πρὸς τὴν Α, εὑρέθη δυνάμει μὲν σύμμετρος ἡ Δ, τουτέστι ῥητὴ δυνάμει μόνον σύμμετρος, ἄλογος δὲ ἡ Ε· διότι ἀλόγους καθόλου καλεῖ τὰς μήκει καὶ δυνάμει ἀσυμμέτρους πρὸς τὴν ῥητήν.

5.

Εἰς τὸ 13.

Εἰς τὸ 13 λῆμμα ἐκ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

Ἐὰν ὑπάρχωσι δύο μεγέθη καὶ τὸ μὲν εἶναι σύμμετρον, τὸ δὲ ἄλλο εἶναι ἀσύμμετρον πρὸς τὸ αὐτό, τὰ μεγέθη θὰ εἶναι ἀσύμμετρα.

Διότι ἔστω δύο μεγέθη τὰ Α,Β, ἄλλο δὲ τὸ Γ, καὶ τὸ μὲν Α ἔστω σύμμετρον πρὸς τὸ Γ, τὸ δὲ Β ἀσύμμετρον πρὸς τὸ Γ. Λέγω, ὅτι καὶ τὸ Α εἶναι ἀσύμμετρον πρὸς τὸ Β.

Διότι ἐὰν τὸ Α εἶναι σύμμετρον πρὸς τὸ Β, εἶναι δὲ καὶ τὸ Γ σύμμετρον πρὸς τὸ Α, ἄρα καὶ τὸ Γ εἶναι σύμετρον πρὸς τὸ Β· ὅπερ ἀντιβαίνει εἰς τὴν ὑπόθεσιν.

6.

Εἰς τὸ 18.

Διότι ῥητὰς καλεῖ τὰς πρὸς τὴν ληφθεῖσαν ῥητὴν ἢ μήκει καὶ δυνάμει συμμέτρους ἢ καὶ δυνάμει μόνον. Ὑπάρχουσι δὲ καὶ ἄλλαι εὐθεῖαι, αἱ ὁποῖαι μήκει μὲν εἶναι ἀσύμμετροι πρὸς τὴν ληφθεῖσαν ῥητήν, δυνάμει δὲ σύμμετροι μόνον καὶ διὰ τοῦτο λέγονται ῥηταὶ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ' ὃ ῥηταί, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας, δηλ. ἢ μήκει καὶ δυνάμει ἢ δυνάμει μόνον. Καὶ ἐὰν μὲν εἶναι μήκει σύμμετροι λέγονται καὶ αὐταὶ ῥηταί, ἐπακουομένου μήκει σύμμετροι, διότι εἶναι καὶ δυνάμει σύμμετροι· ἐὰν δὲ εἶναι μόνον δυνάμει σύμμετροι πρὸς ἀλλήλας, λέγονται καὶ αὐταὶ τοιουτοτρόπως, δυνάμει μόνον σύμμετροι. Ὅτι δὲ αἱ ῥηταὶ εἶναι σύμμετροι εἶναι φανερὸν ἐκ τοῦ ἑξῆς· διότι, ἐπειδὴ ῥηταὶ εἶναι αἱ σύμμετροι πρὸς τὴν ληφθεῖσαν ῥητήν, τὰ δὲ σύμμετρα πρὸς τὸ αὐτὸ εἶναι καὶ μεταξύ των σύμμετρα, (θ.12), ἄρα αἱ ῥηταὶ εἶναι σύμμετροι.

7.

Εἰς τὸ 20.

Λῆμμα.

Ἡ δυναμένη ἄλογον χωρίον ἄλογός ἐστιν.

Δυνάσθω γὰρ ἡ Α ἄλογον χωρίον, τουτέστι τὸ ἀπὸ τῆς Α τετράγωνον ἴσον ἔστω ἀλόγῳ χωρίῳ. λέγω, ὅτι ἡ Α ἄλογός ἐστιν.



Εἰ γὰρ ἔσται ῥητὴ ἡ Α, ῥητὸν ἔσται καὶ τὸ ἀπ' αὐτῆς τετράγωνον· οὕτως γὰρ [ἐστιν] ἐν τοῖς ὅροις. οὐκ ἔστι δέ· ἄλογος ἄρα ἐστὶν ἡ Α· ὅπερ ἔδει δεῖξαι.

8.

Εἰς τὸ 23.

Εἰσὶ δὲ πάλιν καὶ ἄλλαι εὐθεῖαι, αἳ μήκει μὲν ἀσύμμετροί εἰσι τῇ μέσῃ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ λέγονται πάλιν μέσαι διὰ τὸ σύμμετροι εἶναι δυνάμει τῇ μέσῃ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθὸ μέσαι, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἤτοι μήκει δηλαδὴ καὶ δυνάμει ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὗται μέσαι μήκει σύμμετροι ἑπομένου τοῦ, ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον εἰσὶ σύμμετροι, λέγονται καὶ οὕτως μέσαι δυνάμει μόνον σύμμετροι.

Ὅτι δὲ αἱ μέσαι σύμμετροί εἰσιν, οὕτως δεικτέον. ἐπεὶ αἱ μέσαι μέσῃ τινὶ σύμμετροί εἰσιν, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα, αἱ ἄρα μέσαι σύμμετροί εἰσιν.

9.

Εἰς τὸ 27.

Λῆμμα.

Δύο ἀριθμῶν δοθέντων ἐν λόγῳ ὁποιῳοῦν καὶ ἄλλου τινὸς δέον ποιῆσαι ὡς τὸν ἀριθμὸν πρὸς τὸν ἀριθμὸν οὕτως τοῦτον πρὸς ἄλλον τινά.



Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ ΑΒ, ΓΔ λόγον ἔχοντες πρὸς ἀλλήλους ὁποιονοῦν, ἄλλος δέ τις ὁ ΓΕ. δεῖ ποιῆσαι τὸ προκείμενον.

Ἀναγεγράφθω γὰρ ὑπὸ τῶν ΔΓ, ΓΕ παραλληλόγραμμον ὀρθογώνιον τὸ ΔΕ, καὶ τῷ ΔΕ ἴσον παρὰ τὸν ΑΒ παραβεβλήσθω παραλληλόγραμμον τὸ ΒΖ πλάτος ποιοῦν τὴν ΑΖ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΔΕ

7.

Εἰς τὸ 20.

Λῆμμα.

Ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς ἄλογον χωρίον εἶναι ἄλογος.

Διότι ἄς δύναται ἡ Α ἄλογον χωρίον, τουτέστι τὸ A^2 ἔστω ἰσοδύναμον πρὸς ἄλογον χωρίον. Λέγω, ὅτι ἡ Α εἶναι ἄλογος.

Διότι ἐὰν θὰ εἶναι ῥητὴ ἡ Α θὰ εἶναι ῥητὸν καὶ τὸ A^2· διότι τοῦτο περιλαμβάνεται εἰς τοὺς ὁρισμοὺς (ὅρ. 4). Ἀλλὰ δὲν εἶναι· ἄρα ἡ Α εἶναι ἄλογος· ὅπερ ἔδει δεῖξαι.

8.

Εἰς τὸ 23, πόρισμα.

Ὑπάρχουσι δὲ πάλιν καὶ ἄλλαι εὐθεῖαι, αἱ ὁποῖαι μήκει μὲν εἶναι ἀσύμμετροι πρὸς τὴν μέσην, δυνάμει δὲ μόνον σύμμετροι, καὶ λέγονται πάλιν μέσαι, διότι εἶναι σύμμετροι δυνάμει πρὸς τὴν μέσην καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ' ὃ μέσαι, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἢ δηλ. μήκει καὶ δυνάμει ἢ δυνάμει μόνον. Καὶ ἐὰν μὲν εἶναι μήκει σύμμετροι, λέγονται καὶ αὗται μέσαι μήκει σύμμετροι, ὑπακουομένου, ὅτι καὶ δυνάμει εἶναι σύμμετροι· ἐὰν δὲ εἶναι δυνάμει μόνον σύμμετροι, λέγονται καὶ τοιουτοτρόπως μέσαι δυνάμει μόνον σύμμετροι.

Ὅτι δὲ αἱ μέσαι εἶναι σύμμετροι, ἀποδεικνύεται ὡς ἑξῆς. Ἐπειδὴ αἱ μέσαι εἶναι πρὸς μέσην τινα σύμμετροι, τὰ δὲ σύμμετρα πρὸς τὸ αὐτὸ εἶναι καὶ μεταξύ των σύμμετρα, ἄρα αἱ μέσαι εἶναι σύμμετροι.

9.

Εἰς τὸ 27.

Λῆμμα.

Δύο ἀριθμῶν δοθέντων εἰς οἱονδήποτε λόγον καὶ ἄλλου τινος νὰ γίνῃ ὡς ὁ ἀριθμὸς πρὸς τὸν ἀριθμόν, οὕτως ὁ ἄλλος πρὸς ἄλλον τινά.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ ΑΒ, ΓΔ ἔχοντες λόγον πρὸς ἀλλήλους οἱονδήποτε, ἄλλος δὲ ἀριθμὸς ὁ ΓΕ. Πρέπει νὰ γίνῃ τὸ ζητηθέν.

Ἄς κατασκευασθῇ τὸ ὀρθογώνιον παραλληλόγραμμον πλευρῶν ΔΓ, ΓΕ, τὸ ΔΕ, καὶ πρὸς τὸ ΔΕ ἰσοδύναμον παραλληλόγραμμον τὸ ΒΖ ἄς παραβληθῇ παρὰ τὴν ΑΒ σχηματίζον πλάτος τὴν ΑΖ. Ἐπειδὴ λοιπὸν ΔΕ=ΒΖ εἶναι *παραλληλόγραμμον τῷ ΒΖ παραλληλογράμμῳ, ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον, τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ ΑΒ πρὸς τὸν ΓΔ, οὕτως ὁ ΓΕ πρὸς τὸν ΑΖ· ὅπερ ἔδει δεῖξαι.*

10.

Λῆμμα εἰς τὸ κθ'.

Δύο ἀριθμῶν δοθέντων καὶ εὐθείας δέον ποιῆσαι ὡς τὸν ἀριθμὸν πρὸς τὸν ἀριθμόν, οὕτως τὸ ἀπὸ τῆς εὐθείας τετράγωνον πρὸς τὸ ἀπ' ἄλλης τινός.



Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ Α, Β, εὐθεῖα δὲ ἡ Γ, καὶ δέον ἐστὶ ποιῆσαι τὸ προκείμενον. πεποιήσθω γὰρ ὡς ὁ Α πρὸς τὸν Β, ἡ Γ εὐθεῖα πρὸς ἄλλην τινὰ τὴν Δ, καὶ εἰλήφθω τῶν Γ, Δ μέση ἀνάλογον ἡ Ε. ἐπεὶ οὖν ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, ἡ Γ εὐθεῖα πρὸς τὴν Δ, ἀλλ' ὡς ἡ Γ πρὸς τὴν Δ, τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Ε, ὡς ἄρα ὁ Α πρὸς τὸν Β, τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Ε τετράγωνον.

11.

Λῆμμα εἰς τὸ λα'.

